χούσης, καὶ τὴν τοῦ Δεσπότου παρουσίαν παραδηλούσης, ὃς τὴν πρόθεσιν τῶν θαυμασίων ἀποδεξάμενος, τῇ οἰκείᾳ κατηγλάϊσεν ἐπιδημίᾳ. Ὑφαπλώσαντας οὖν ἑαυτοὺς τῷ ἐδάφει, τὰς τοῦ ἐλέους ἐπιβλῦσαι τούτοις ᾔτουν πηγάς. Καὶ δὴ τῆς θείας ἐμφανείας παρῳχηκυίας, τὸν πλοῦτον κενοῦντες [ταῖς] τῶν δεομένων χερσὶ, ἐνεχείρουν καὶ πρὸς τὴν [21] ἀναχώρησιν ἐνσκευάζεσθαι. Ἀντεστρατήγει δὲ τούτοις φθόνος τοῦ κοινοῦ πολεμίου πᾶσι βασκαίνων καλοῖς, καὶ κηδευτὴς ὁ τούτου ἐπ' αὐτοῖς μόνοις τὰς ἐλπίδας τοῦ βίου σαλεύων, ἐπὶ τοσοῦτον χαλεπήνας τῷ πράγματι, ὡς καὶ βασιλέα πρὸς μέγαν ἐξερεθίσαι θυμόν. Λέων δὲ οὗτος ἦν, ὁ τοῦ Κοπρωνύμου υἱὸς καὶ διάδοχος, ὃς τὸν νέον ὑπεραλγήσας καὶ τὸν οἰκεῖον φίλον τιμῶν, ὀμμάτων δεῖξαι χηρεύοντα τὸν νεανίαν, εἰ μὴ τῆς ἐγχειρήσεως ἐκσταίη, σὺν ὅρκοις διηπειλεῖτο [22]. Καὶ πρὸς τὴν Κύζικον ἐξαπέστειλεν, ἀξιόχρεων ἐγχειρίσας πραγμάτων διοίκησιν, ὡς ἂν τοῖς ματαίοις καὶ τῷ χρόνῳ παραῤῥέουσιν ἀγεννῶς ἐνασχολούμενος, λήθῃ παραδοίη [22*] τῶν ἀεὶ ἑστώτων τὴν ἀγλαΐαν. Ὁ δὲ ὥσπερ ἕρμαιον τὴν ἔξοδον ἀσπασάμενος, ἐπιτυγχάνει κατὰ τὴν ἐπὶ Σιγριανὴν πάροδον γέροντι τὰ πάντα θαυμασίῳ, Γρηγορίῳ τοὔνομα, εἴπερ καὶ ὀνόματος ἡμῖν μέλει, ἄλλοις τε κατηγλαϊσμένῳ χαρίσμασι καὶ προφητείας χάριτι λαμπομένῳ· ὃς πολλοῖς ἱδρῶσι ἐλευθέραν τῶν παθῶν τὴν ἑαυτοῦ καρδίαν ἀπεργασάμενος, πρός τε θεοπτίαν ἐπιτήδειος καὶ πρὸς τοῦ μέλλοντος κατανόησιν ἐγεγόνει· καὶ τὰ τῆς προθέσεως ἀνατίθησι, καὶ τὴν φυγαδείαν ἐν βουλαῖς οὖσαν ὅσον οὔπω καθυποφαίνει [23]. Ὁ δὲ συνήθως τῷ παναγίῳ καταλαμφθεὶς Πνεύματι, Οὐδὲν δεῖ σοι, φησὶ, τῆς φυγαδείας, ὦ νεανία, μετ' ὀλίγον [24] ἀκωλύτου τῆς ἀναχωρήσεως ἐσομένης. Ὁ γὰρ σὸς κηδευτὴς ἅμα τῷ βασιλεύοντι τῆς παρούσης βιοτῆς ἀπωσθέντες, πρὸς τὴν ἐκεῖσε μετακομισθήσονται συνοικίαν. Καὶ τῇ συνούσῃ ψιθύροις ἐπεφώνει τοῖς χείλεσι, ὡς Ὁ καλὸς οὑτοσὶ νεανίας καὶ μαρτύρων κομισθήσεται στέφη καιρῷ τῷ προσήκοντι.

Ἦν δὲ τῷ τοῦ γέροντος ἐξυπηρετούμενος [25] ὑποζυγίῳ, καὶ ταύτῃ μᾶλλον ἢ τῇ βασιλείῳ τῶν ἵππων ὑπηρεσίᾳ μεγαλαυχούμενος, ἐν ᾗ καὶ διέπρεπε. Τούτου τῇ διδασκαλίᾳ προσμείνας, καὶ Πατέρων ἑτέρων ἐπισκέψεσι ἐμβραδύνας, ὠψίσθη τῆς οἴκαδε ὑποστροφῆς, καὶ τῷ τυχόντι χωρίῳ σὺν τοῖς συνοῦσιν, ὡς εἶχε σκευῆς, ἐγκατέμεινε· καύσωνί τε πολλῷ καὶ δίψῃ σὺν τοῖς ἀμφ' αὐτὸν συνεχόμενος, οὐ δυσχεραίνων τῷ συμβεβηκότι, οὐκ ἀπουσίᾳ τοῦ ὕδατος πρὸς μεταμέλειαν ὑποφερόμενος, οὐ πρὸς ἴασιν [26] τοῦ δίψους τὸν οἰκεῖον δεσπότην ἐκμειλισσόμενος, ἀλλὰ τὰς συνήθεις ἀποδοὺς τούτῳ προσευχὰς, ἐπὶ τοῦ προσόντος ἀνέκειτο τάπητος, ὕμνῳ βραχὺ παραμυθήσασθαι τὸ δίψος ἐθέλων. Ἀλλ' ὁ τῶν θαυμασίων Θεὸς ἐντρυφῶντα δι' αὐτὸν τοῖς πόνοις τὸν

A consuetam suavitatem superans, Domini præsentiam indicabat. Is nempe admirabilium conjugum propositum approbans, præsentia eos sua honestavit. Sese igitur humi prosternentes, ut sibi misericordiæ fontes manarent, obsecrabant. Adeoque ubi res transacta esset, præterieratque divinæ ille conspectus præsentiæ, opes affatim effundentes, pauperum manibus contradebant, quo se ad vitam in solitudine degendam compararent. Sed communis hostis invidia, quam ipse ex rebus honestis præclarisque contrahit, adversabatur. Socerque ejus, qui omnem in ipsis solis rerum suarum spem positam habebat, consilium sic ægre tulit, ut ipsum quoque imperatorem in magnam indignationem impulerit. Leo hic fuit Copronymi filius, ac imperii hæres. B Is adolescentis vicem dolens, propriumque amicum honorans, jurejurando comminatus est se adolescenti oculos effossurum, nisi a proposito desisteret. Misit itaque Cyzicum, munusque præclarum commisit, ut dum rebus vanis, ac quæ tempore diffluunt, ignaviter impenditur, earum quæ semper permanent, oblivisceretur. At ille tanquam oblatum, quod urbe exeundum esset, amplexus, remque lubenter habens; dum apud Sigrianem transit, admirando seni Gregorio nomine, viro cum aliis donis, tum prophetiæ gratia illustri, occurrit. Multis enim is sudoribus animum a perturbationibus liberum, seque tum ad contemplationem rerum divinarum, tum ad eorum, quæ ventura essent, cognitionem, C aptum reddiderat. Huic Theophanes animi sui propositum aperit, ac se fugam meditari subindicat. Ille sancto Spiritu, ut erat solitus, illustratus : Nihil est, inquit, o juvenis, quamobrem de fuga cogites : paulo post enim licebit tibi, nemine prohibente, ad solitudinem te conferre. Tuus namque socer, necnon imperator vivis exempti ad ævi futuri contubernium commigrabunt. Tum uxori, quæ comes erat, labiis ad aures susurrat, fore, ut præclarus juvenis martyrum quoque lauream opportuno tempore reportaret.

Senioris inserviebat jumento, eoque magis, quam regio equorum ministerio gloriabatur, quo ipso ornatus erat. Senis igitur doctrinæ assiduus, ac dum visendis aliis Patribus tempus terit, D domum rediturum hora tardior prohibuit; unaque cum sociis loco primum obvio cum supellectile consedit. Cumque interim ingenti æstu sitique ipse pariter ac comites excruciarentur, haud tamen quod acciderat indigne ferens, vel aquæ penuria eo adductus, ut se itineris pœniteret, aut ut saltem sitim depulsurus dominum suum votis fatigaret; sed ubi solitas preces reddidisset, super tapete illic expanso recumbebat, somno paulisper sitim leniturus. At rerum mirabilium effector Deus, juvenem intuens propter se libenti animo labores ferentem, magno

VARIÆ LECTIONES.

[21] forte τοῦ πρὸς τὴν mg. Par. [22] διηπειλῆτο Par. [22*] Scribebatur παραθοίη. [23] Legebatur ὅσον ὑποκαθ. [24] μετ' ὀλίγου Par. [25] ἐξεπηρετ. Par. [26] Legebatur προσίασε. Mg. Par. παρουσίᾳ τε.

illum miraculo decoravit. Qui enim ingrato populo ex durissima petra latices effudit, cur probo juveni necessaria non subministraret? Probe igitur ubi is strato tapete jacebat, divino jussu fons quidam admiranda scaturigine profluxit: tactuque suo servum Dei excitans, sese illi patefecit: qui sociis convocatis, sitis remedium a Deo datum ostendit. Cavis igitur manibus aquam haurientes, suaves illos divinoque munere concessos latices, debitas bonorum omnium largitori Deo gratiarum actiones reddentes, pro eo ac officii ratio petebat, perceperunt. At ne quis posset suspicari, fontem illum cum occulte lateret, repente in apertum productum erupisse, nocte sic evanuit, ut ne vestigium quidem ejus ullum mane relinqueretur. Hoc amoris, quo sanctus hic jam inde a puro Deum prosequebatur, signum fuit: tanto majus illo, quod Moyses Dei inspector edidit, quod ipse precibus rem impetravit; hic autem ne id postulans quidem. Præterea ille murmurantium suorum necessitate adductus, Dominum ad largiendum impulit: hic autem patientia, et gratiarum actione utens cum sociis suis, proprium Dominum movit; ad hæc Judæi (ne dicam Mosem) incredulitate munus inquinarunt; hi autem concessum donum honestatis accessione honestarunt.

Nondum anni tres præterierant, cum socer ejus, et imperator a mundi gloria excisi, ad domicilium quod eos deceret, translati sunt. Irene autem mulier illa fortis animi, ac divino sensu prædita, cum filio imperii gubernacula suscepit (si tamen mulier dicenda est, quae adversum hostes ac perturbationes virilem animum gessit). Tumque humanum genus, quod diuturno bello laboraverat, cum secum ipsum, tum cum Deo conciliatur: prorsusque depulsis tenebris, lætiorem omnia faciem induebant. Tunc quoque sol, qui cuncta lustrat, diem ex omni parte liberum extulit, et mœrorem atque tristitiam, quæ diu ipsum occupaverat, exuens, nitidius eluxit. Tunc igitur a Deo ornatum, ac castitatis amans par illud, ejus quod animo constitutum erat, nactum potestatem, uberes domo divitias proferentes, in omnes large egenos erogabant. Adeoque una Dei amantium domus, multis, quæ victui erant necessaria subministrans, et eorum qui se Deo dediderant, pauperiem vitæque incommoda eximie sublevans, Deum ipsum, qui hæc sua fecerat, vehementer oblectabat.

Cum igitur hæc et alia multa perfecissent, illa quidem in monasterio quod in insula Principe situm est, collatis eo facultatibus suis consedit: hic autem ad magnum Strategium revertitur apud Sigrianam degentem in monasterio, cui nomen Polychronius; quod is ab ipso otii quietisque gratia donatum acceperat: illicque manibus illius deton-

A νεανίαν ὁρῶν, μεγαλοτίμῳ τερατουργήματι (ὁ γὰρ ἀγνώμονι λαῷ ἐξ ἀκροτόμου βλύσας τὰ νάματα πῶς οὐκ ἔμελλεν [27] εὐγνώμονι νεανίᾳ τὰ τῆς χρείας παρέξεσθαι;)· πλησίον γοῦν οὗπερ ἐπέκειτο τάπητος, πηγή τις θείῳ προστάγματι παραδόξως ἀνέβλυσε, καὶ θίξει τῷ θεράποντι τὴν αἴσθησιν ἐμποιήσασα, πρὸς ἐπίγνωσιν αὐτῆς διήγειρεν· καὶ τοὺς συνόντας προσκαλεσάμενος τὸ θεοδώρητον ἐπεδείκνυε τοῦ δίψους ἴαμα· καὶ κοίλαις χερσὶν ἀρυσάμενοι τοῦ προσηνοῦς ἐκείνου καὶ θεοσδότου καταπήλαυον [28] νάματος, τὴν προσήκουσαν εὐχαριστίαν τῷ δοτῆρι πάντων καλῶν, ὡς τὸ εἰκὸς, ἀναπέμποντες. Τοῦ μή τινι δὲ δόκησιν ἐμποιῆσαι, ὡς ἀφανεῖ [29] καλυπτομένη τύχῃ πρὸς τοὐμφανὲς ἥκει ἀθρόον ἀναφανεῖσα, διὰ νυκτὸς ἀπῴχετο, ὡς μηδὲ ἴχνος ἐς τὸ πρωῒ ταύτης B ἐμφανισθῆναι. Τοῦτο τῆς τοῦ θείου θεράποντος παιδόθεν πρὸς Θεὸν ἀγάπης πρὸς ὑπόδειγμα [30], τοσοῦτον τὴν τοῦ θεόπτου Μωϋσέως παρατρέχον [31] θαυματουργίαν, ὅσον ὁ μὲν αἰτήσας, ὁ δὲ μὴ τοῦτο πράξας ἔλαβε· καὶ ὁ μὲν ἀνάγκῃ τῶν γογγυσμῶν [32] τῶν οἰκείων ἐξεβιάζετο δοῦναι Δεσπότην· ὁ δὲ καρτερίᾳ καὶ τῇ τῶν συνόντων εὐχαριστίᾳ τὸν ἴδιον ἐφείλκετο [33] δοῦναι Δεσπότην· καὶ οἱ μὲν τὸ δωρηθὲν (ἵνα μὴ λέγω Μωϋσέα) κατεῤῥύπωσαν ἀμφιβολίᾳ· οἱ δὲ τὸ [33*] δοθὲν τῇ τοῦ καλοῦ προκοπῇ κατεκόσμησαν.

Οὔπω γὰρ τριῶν παριππευσάντων ἐτῶν, κηδευτὴς ὁ τούτου ἅμα τῷ βασιλεύοντι τῆς παρούσης ἐκτμηθέντες εὐκλείας, πρὸς τὴν ὀφειλομένην παρεπέμC φθησαν ἐνοικίαν. Εἰρήνη δὲ τὸ κραταιόφρον ἐκεῖνο καὶ θεοφόρητον γύναιον τῆς βασιλείας σὺν υἱῷ τοὺς οἴακας ἐγχειρίζεται· εἴπερ χρὴ γύναιον καλεῖν τὴν κατ' ἐχθρῶν καὶ παθῶν ἀῤῥενωπῷ καθωπλισμένην φρονήματι· καὶ σπένδεται φύσις βροτῶν ἀλλήλοις τε καὶ Θεῷ, πολυχρόνιον κεκτημένη τὸν πόλεμον· καὶ εἰς ἅπαν ἐκκαθαρισθείσης [34], πάντα πρὸς τὸ φαιδρὸν μετεβάλλετο. Τότε καὶ ἥλιος ὁ πάντ' ἐφορῶν ἡμέραν ἐπίδεν [34*] ὁλοσχερῶς ἐλευθέριον, καὶ τὸ στυγνὸν τῆς κατηφείας ὃ πολλοῖς περιεβέβλητο χρόνοις ἀποδυσάμενος σταθερώτερον ἐξέλαμπε. Τότε τοίνυν τῶν οἰκείων βουλευμάτων ἡ θεοκόσμητος καὶ φίλαγνος ξυνωρὶς ἐν ἐξουσίᾳ γενομένη, τὸν προσόντα ποικίλον πλοῦτον τῆς οἰκίας [35] ἐκφοροῦντες, πᾶσι τοῖς ἐν χρείᾳ καθεστηκόσι διένεμον· καὶ μία φιλοθέων D οἰκία πολλοῖς ὑπηρετησαμένη τὰ πρόσφορα, καὶ τῶν τῷ Θεῷ προσανεχόντων τὰ φαῦλα διαφερόντως θεραπεύσασα, τὸν τὰ ἐκείνων ἰδιοποιούμενον μεγάλως κατέτερπε.

Ταῦτα οὖν καὶ τὰ ἄλλα ὅσα προσῆκε διαπραξάμενοι, ἡ μὲν τῷ κατὰ Πρίγκιπον σεμνείῳ αὐτοῖς κτήμασι ἐγκατοικίζεται, ὁ δὲ πρὸς τὸν μέγαν ἐπανατρέχει Στρατήγιον, ἐν τῷ κατὰ τὴν Σιγριανὴν Πολυχρονίῳ τυγχάνοντα, ὃ πάλαι τούτῳ παρ' αὐτοῦ δεδώρητο ῥᾳστώνης χάριν καὶ ἀναπαύσεως, κἀκεῖσε ταῖς ἐκείνου χερσὶν ἀποκείρεται· μᾶλλον μὲν οὖν ἱερουρ-

VARIÆ LECTIONES.

[27] ἔμελεν Par. [28] κατεπήλαυον Par. [29] ἀφανείᾳ Par. [30] fort. προσυπόδειγμα. [31] παρατρέχων Par. [32] γογγυστῶν Par. [33] ἀφείλκετο Par. [33*] τὸ] τῷ Par. [34] ἀχλύος vel ὁμίχλης excidisse videtur. [34*] Legebatur ἐπῆθεν. Par. ἐπίδεν, et in margine: forte ἐποίησεν. [35] οἰκείας Par.

γεῖται πολλῷ τῆς τοῦ μεγάλου Ἰσαὰκ θυσίας ἱερουργίαν ἱερωτέραν, ὅσον τοῦ ἀκουσίου σεμνότερον τὸ ἑκούσιον, καὶ τοῦ μὴ τετελεσμένου τὸ πέρας λαβόν· κἀκείνῳ τὴν μονὴν αὐτοῖς κτήμασιν ἀναθεὶς (πολλὰ γὰρ ἦν, ἃ ταύτῃ συγκαθιέρωσεν), βουλήσει τούτου καὶ γνώμῃ πρὸς τὴν νῆσον διαπεραιοῦται [35'] ἣν Καλώνυμον κικλήσκουσιν, καὶ τὸ προσὸν ἐν ταύτῃ πατρόθεν κτημάτιον μοναστήριον ἐκ τῶν ὑπολειφθέντων δειμάμενος [36], ἐκ τῆς Θεοδώρου μονῆς ἀθροίσας μονάζοντας, ὃν Μονοχεράριον οἱ εἰδότες [37] ἐπονομάζουσι. Ὅσης δὲ ἀρετῆς ὑπῆρχεν οὗτος ἀνάπλεως, καὶ ἡ δημώδης [38] σαφῶς παρίστησι παροιμία. Τούτοις τὴν τῆς μονῆς δεσποτείαν δωρησάμενος, καὶ τὸν πάντων δοκιμώτατον ἀναδείξας ἡγούμενον, ἀρχέτυπον ὑπακοῆς τοῖς λοιποῖς ἐγνωρίζετο, ταπεινώσει μὲν τοσαύτῃ κοσμούμενος, ὡς μηδενὶ τῶν ἄλλων οἰκτρότησιν παραβάλλεσθαι· ἀσκήσει δὲ καὶ χαμευνίᾳ τηλικαύτῃ περιλαμπόμενος, ὡς παρατρέχειν πολλῷ τῷ μέσῳ τοὺς ἅπαντας. Τῇ δὲ τῶν θείων Βίβλων γραφῇ σχολάζων ἀνημέριον [39], ἣν οὐκ ἐκ παιδείας ἀνθρωπίνης, ἀλλὰ πόνῳ διηνεκεῖ καὶ θείᾳ κτησάμενος χάριτι ἀκριβῶς μετήρχετο. Παννύχιον τῇ καθαρᾷ προσευχῇ πρὸς Χριστὸν ἐκδημῶν τὸν ποθούμενον, τὴν εὐμένειαν ἐφείλκετο τούτου· καὶ θυμὸν δὲ κατὰ δαιμόνων στρατολογήσας καὶ παθῶν, παρὰ τοῖς πᾶσιν ἅπερ [40] τις Μωσῆς ἕτερος [41] καθωρᾶτο. Ἐπιθυμίαν δὲ τῶν γηΐνων ἀποστήσας εἰς ἅπαν, μόνοις τοῖς θείοις προσέμενεν, ἀνδρείᾳ δὲ καὶ καρτερίᾳ καὶ τῇ τῶν δεινῶν ὑπεροψίᾳ ὅσῃ κατηγλαΐζετο, οἱ τελευταῖοι τούτου μάλιστα παρέδειξαν χρόνοι.

Οὕτω δὴ τούτου ταῖς ἀρεταῖς ἐπακμάζοντος, τὴν ἐπίκηρον βιοτὴν [42] ὁ τῆς μονῆς προστάτης ἀφεὶς, πρὸς τὴν ἀγήρων μεταβιβάζεται λῆξιν. Πάντων δὲ συνδρομὴ ἐπ' αὐτὸν καὶ ἱκεσία, σὺν δάκρυσι προστῆναι τοῦτον ἱκετευόντων καὶ τῆς σωτηρίας ἡγήσασθαι, ὧν καὶ τὴν ἐσχάτην τάξιν πληρῶν ἀρεταῖς ἐφωταγώγει τούτους καὶ πράξεσι. Ἀλλ' οὐκ ἔπειθον γνώμην τοῖς ταπεινοῖς ἐμμένειν ἐμμελετήσασαν, καὶ ὅσον ἀρετὴ πρὸς ὕψος ἦγε μετέωρον, ἐπὶ τοσοῦτον τούτοις φιλονεικοῦσαν ἐγκαλλωπίζεσθαι. Ἀμέλει πάντα παρὰ φαῦλον θέμενος, τὴν ῥάβδον ἐπὶ χεῖρας λαβὼν, καὶ τῇ ἐλπίδι Χριστὸν, ᾗ διὰ βίου συνέζη [43] παντὸς, ἀραρότως θωρακισάμενος, ἐπὶ τὸ τῆς Σιγριανῆς ὄρος ἀφικνεῖται· καὶ παρά τινος γεωργοῦ χωρίον ὠνησάμενος ὅπερ ἀνέκαθεν Ἀγρὸς ὠνομάζετο (ἦν δὲ παρὰ θεοφιλῶν κεκομισμένος [44] δάνειον, οὐ γὰρ [45] ψυχῆς ἐκέκτητό τι καὶ τοῦ περικειμένου ῥακίου τῷ σώματι), μύσας τὰς αἰσθήσεις, καὶ σαρκὸς ἔξω καὶ κόσμου γενόμενος, ἐν αὐτῷ τὴν παροικίαν ἐποιεῖτο τοῦ βίου· τῇ μὲν θεοσδότῳ τῶν χειρῶν ἐργασίᾳ ἐπὶ τοσοῦτον προσκείμενος, ὡς οὔπω παριππεύσαντος χρόνου ἀποδοῦναι μὲν τοῖς δεδανεικόσι τὸ ὄφλημα, ἑαυτῷ δὲ τὰ τῆς χρείας ἐκ τῶν χειρῶν πορίζεσθαι. Αὐτὸς δὲ ἑαυτοῦ κρείττων ἑκάστης γινό-

A detur; imo vero immolatur, hostia quam magnus Isaac longe sacratiore, quo præstantius sanctiusque quod ultro fit, quam quod præter voluntatem, atque id, quod peractum est, eo cui finis reique absolutio defuit. Illi itaque monasterio cum prædio totaque possessione, quæ amplissima erat, donario oblato, ejus voluntate ac consilio ad insulam, quam Calonymum vocant, se contulit; ac prædiolo, quod in ea paternum habebat ex reliquis facultatibus, in monasterium exstructo, monacho ex Theodori, quem Monacherarium vocitant, accivit monasterio. Quantæ autem is virtutis esset, vel vulgi proverbium facile indicat. In horum jura monasterio concesso, omniumque probatissimo præfecto illius constituto, obedientiæ exemplar se ipsum exhibuit.
B Tanta præstabat humilitate, ut supra omnes miserabilem sese deploraret. Sic autem austerioris vitæ exercitiis lectique duritie clarebat, ut longo omnes post se relinqueret intervallo. Divinorum librorum scriptioni assidue incumbebat, quorum scientiam non humana disciplina, sed labore continuo et divina gratia plene callebat. Noctem precando consumens, puraque oratione in Christum, cujus tenebatur desiderio, excedens, illius sibi benevolentiam conciliabat. Cumque adversus dæmones animique ægritudines instructa ira pugnaret, cunctis lenis tanquam Moses alter apparebat. Rerum terrenarum cupiditatem sic abjecerat, ut divinis tantum vacaret. Quanta porro fortitudine eniteret, laborumque ac ærumnarum sustinentia atque contemptu, extre-
C ma ipsius tempora potissimum indicarunt.

Sic igitur illo virtutibus florente, monasterii præfectus ab hac mortali vita discessit ad immortalem. Tum ad eum universorum concursu facto, cum lacrymis supplices rogant ipsis præesse velit, ac salutis ducem agere, qui vel extremum apud eos locum tenens, virtutibus vitaque agenda illis præluceret. Nihil tamen ejus animum movere potuerunt, cujus unum studium erat, ut in abjectis humilis permaneret: ac quanto sublimior virtute tollebatur, tanto his honestari amplius contendebat. Denique spretis omnibus, assumptoque in manum baculo, ac spei vi, cui, quoad vixit, nixus fuerat, Christum pro thorace apte induens, ad Sigrianæ montem venit: coemptoque ab agricola prædiolo, cui olim
D jam agri nomen erat (nempe mutuo a viris religiosis accepta pecunia, cum præter animum viles que pannos quibus tegebatur corpus nihil possideret), clausis sensibus, ac carne mundoque excedens, illic domicilium sibi statuit. Manuum labore, ac divinitus concessa operis industria tantum profecit, ut nondum elapso anno cum mutuo sumptam pecuniam redderet, tum victui necessaria compararet. In dies autem se ipso melior evadens, et quæ retro sunt (ut Apostoli verbis utar) obliviscens, ad ante-

VARIÆ LECTIONES.

[35'] διαπαιρεοῦται Par. [36] δημάμενος Par. [37] οἰδότες Par. [38] δημόδης Par. [39] καθ' ἡμέραν mg. Par. fort. ἐνημέρευε. [40] fort. ὥσπερ vel καθάπερ. [41] ἕτερος] ἤπιος mg. Par. male. [42] βιώτην, et statim ἀγήρῳ Par. [43] Legebatur συνέρει. [44] κεκομισμένον Par. [45] ante ψυχῆς, πλὴν vel ἐκτὸς excidisse videtur.

riora contendebat. Neque enim profectus loco du- cebat, ut in bono quod adeptus erat, consisteret : imo non mediocre damnum existimabat, nisi semper in eo proveheret. Comes autem et adjutrix omnibus in bonis illi erat gratia Dei, quæ a puero in illo conquieverat, ac jugiter lucebat.

Quis ejus precum vi in Deum excessus, qui a terrenis prorsus emundatum divinarum operationum organum efficiebant, pro dignitate explicare queat? quis castimoniæ decus cordis illius enarrare possit, quæ beatis eum spiritibus conjungebat, Deique purissimum vasculum præstabat, tumque in Dei conspectum attollebat, et ut futura tanquam præsentia essent aspectaret, efficiebat? quænam oratio assequi valeat insatiabilem illius erga Deum atque proximum charitatem, licet vi sua æthera conscendat? quæ fidei firmitatem, ab omni duplicitate alienam? quæ spei constantiam, qua ille jam inde a puero instructus, ac se futuris tanquam præsentia forent potiri existimans, confirmabatur? cæterum, viri tanta virtus lucidis irradians facibus, ad imitandum plures invitabat. Denique qui suave Christi jugum subierant, vitæ eum institutorem, qui ad virtutem animaret, ingenti compendio habebant. Accuratis enim in proximum charitatis scitis munitus, sic humilem de se sensum vincebat, eorumque præfectum agebat; quorum animis initiante illo ad virtutem, impensior illa submissio comtemptum velut progignebat : tametsi illi ejus virtutem reveriti, pro benevolentia qua eos prosequebatur, amorisque modo, obedientiam parem rependebant.

Velut autem divina illustratus gratia, eoque ingenio præditus, ut quæ recta ac consentanea essent facile dispiceret, quæ in Bithynia ac locis aliis monasteria sita sunt invisens, inque eis monasticem profitentibus familiarius colloquens, conjectis in illorum virtutum prata luminibus, rosarum instar quibus prælucebant decerpebat certamina, domumque ad suos reportabat, perfectam charitatis et sublimis humilitatis in se circumferens documenta. Jugi autem abstinentia duratus, cum amicorum invisentium præsentia ad cibum percipiendum vocaret, illius honestatem in secundis habens, virtutum dominam illi prælatam volebat : qui magni Pauli more sciret satiari, et penuriam pati, inanisque gloriæ dominatum fugeret. Pulcherrimum illius factum me pene præteriit. Cum enim Nicææ synodus secundo coacta esset, ad eam ipse quoque cum aliis Patribus vocatus est. Cumque omnes equis præstantibus, et splendidis vestimentis ornati venirent, ipse solito cilicino sacco indutus, ac asinæ insidens, lætus iter suscepit. Sed cum omnes viderent eum, qui prius omnibus divitiarum copiis

A μενος, τῶν ὄπιθεν ἐπιλανθανόμενος, ἀποστολικῶς εἰπεῖν, ἐπηύξει [46] τοῖς ἔμπροσθεν, οὐ τὴν ἐν τῷ καλῷ μονὴν προκοπὴν ἡγούμενος, ἀλλὰ τὸ μὴ προβαίνειν ἐν τούτῳ, ζημίαν οὐ τὴν τυχοῦσαν οἰόμενος. Συνήργει δὲ τούτῳ χάρις ἐν πᾶσι καλοῖς, ἡ παιδόθεν ἀναπαυσαμένη τούτῳ καὶ διηνεκῶς ἐπιλάμπουσα.

Καὶ τίς ἂν τούτου τὰς πρὸς Θεὸν δι' εὐχῶν ἐκδημίας (αἱ τῶν ἐνύλων εἰς ἅπαν ἀποκαθάρασαι ὄργανον θείων ἐνεργειῶν εἰργάσαντο [47]) κατ' ἀξίαν ἐκφράσαι δυνήσαιτο; τίς δὲ τὸ τῆς σωφροσύνης κάλλος τῆς τούτου καρδίας ἐξειπεῖν ἰσχύσειεν, ἡ τοῖς ἀσωμάτοις συνάπτουσα καὶ Θεοῦ δοχεῖον ἐργαζομένη καθαρώτατον, πρός τε θεοπτίαν ἀνῆγε καὶ τὸ μέλλον ὡς παρὸν ὁρᾷν παρεσκεύασε; τίς δὲ λόγος τῆς ἐκείνου πρὸς Θεὸν καὶ τὸν πλησίον ἀγάπης τρανῶσαι φιλονεικήσει τὸ ἀκόρεστον, κἂν πρὸς αὐτὸν αἰθέρα B πτεροφυήσας ἐπαναβαίη; τῆς πίστεως τὸ στεῤῥὸν καὶ διπλόης ἁπάσης ἀμέτοχον, τῆς ἐλπίδος τὸ ἄῤῥηκτον, ᾗ παιδόθεν θωρακισάμενος τήν τε τῶν μελλόντων ἀπόλαυσιν ὡς παροῦσαν λογιζόμενος ἐκρατύνετο; Ἀλλὰ γὰρ ἀρετὴ φωτοβόλοις πυρσεύουσα χάρισι πολλοὺς ἐκάλει πρὸς μίμησιν. Ἀμέλει τὸν ἤπιον Χριστοῦ ζυγὸν ὑποδύντες, παιδοτρίβην τοῦ ζῆν πρὸς ἀρετὴν ὑπαλείφοντα κατεπλούτουν. Τῆς γὰρ τοῦ πλησίον ἀγάπης ἀκριβέσι θεσμοῖς τειχιζόμενος, ἐνίκα δι' αὐτῆς τὸ ταπεινὸν τοῦ φρονήματος, καὶ προστάτης τούτων ἐδείκνυτο, ὧν πολὺ πλέον τὸ ταπεινὸν τοῦ φρονήματος ἀμέλειαν τοῖς πρὸς ἀρετὴν χειραγωγουμένοις ἀπέτικτεν· ἀλλ' ἀναλογοῦσαν τῇ πρὸς αὐτοὺς C στοργῇ τὴν ὑπακοὴν παρείχοντο, τὴν ἀρετὴν αἰδούμενοι.

Ὥς γε καὶ θείᾳ λαμπόμενος χάριτι, καὶ συνιδεῖν ῥᾷστα τὸ δέον οἷός τε ὤν, τοῖς κατὰ Βιθυνίαν ἐνδημῶν μοναστηρίοις καὶ ἑτέροις ἀλλαχόθεν προσομιλῶν, τοῖς ἐκείνων τῆς ἀρετῆς λειμῶσι τὰς ὄψεις ἐπαφείς, συνελέγετο ὡς ῥόδα τὰ τούτων ἀγωνίσματα, καὶ τοῖς οἰκείοις προσεκόμιζεν, ἀγάπης ἀρίστης καὶ ὑψοποιοῦ ταπεινώσεως ἐν ἑαυτῷ περιφέρων τὰ ὑποδείγματα. Ἐγκρατείᾳ δὲ διηνεκεῖ στομούμενος, ἡνίκα φίλων ἐκάλει παρουσία πρὸς μετάληψιν, τὸ τῆς ἐγκρατείας καλὸν ἐν δευτέρῳ τιθέμενος, τὴν κυρίαν προὐτίμα τῶν ἀρετῶν· χορτάζεσθαί τε καὶ ὑστερεῖσθαι [48] κατὰ τὸν μέγαν Παῦλον εὖ εἰδὼς [49], καὶ τῆς κενῆς δόξης D δραπετεύων τὴν ἐπικράτειαν. Μικροῦ με τῶν ἐκείνου καλῶν διέδρα τὸ μέγιστον. Τῆς γὰρ κατὰ Νίκαιαν συνόδου συστάσης τὸ δεύτερον, σὺν τοῖς ἄλλοις Πατράσιν ἐπ' αὐτὴν ἐκέκλητο. Πάντων δ' ἐφ' ἵππων ἐξόχων ἀθροιζομένων, καὶ λαμπραῖς γαννυμένων ἐσθήταις [50], αὐτὸς τῷ συνήθει τριχίνῳ κοσμούμενος, ὑποζυγίῳ τε ἐπιβὰς χανθηλίῳ [51] τὴν ὁδοιπορίαν ἀσμένως ἐποιεῖτο. Ὡς δ' εἶδον [52] ἅπαντες τὸν τηλικούτῳ πλούτῳ κομῶντα τὸ πρότερον τούτοις νῦν καλλωπιζόμενον, ἐξ αὐτοῦ μᾶλλον ἢ τῶν ἄλλων ὀρεψάμενοι

VARIÆ LECTIONES.

[46] ἐπεξετείνετο exspectes secundum Phil. 3, v. 15. [47] ἠργάσαντο Par. [48] ὑστερῆσθαι Par. cfr. Phil. 4, v. 12. [49] οἰειδὼς Par. [50] ἐσθῆσιν mg. Par.; sed scriptor barbaram formam prætulisse videtur. [51] Legebatur, κἂν θηλείᾳ, nullo sensu. [52] ἴδον Par.

τὴν ὠφέλειαν, εὐθυμίας ἁπάσης ἀνεπίμπλαντο. Ὁ δ' ἐχθύμως συνασπίσας τῇ ἀληθείᾳ καὶ τὴν πλάνην καταστρεψάμενος, τῇ γενικωτάτῃ [53] τῶν ἀρετῶν καλλυνόμενος, ἐπανήει [54].

Τούτου τοῖς καλοῖς οἱ τῆς [55] κακίας γεννήτορες βασκήναντες δαίμονες, μικρὸν τῆς νυκτὸς ἀφυπνοῦντι ἀνέδην ἐπικωμάζουσι, καὶ τῆς ὅλης χειρὸς τὸν ἀντίχειρα συὸς δίκην ἀγρίου τοῖς ὀδοῦσι λαβόμενοι, δριμεῖαν τὴν ἀλγηδόνα καὶ ἔκτοπον ἐνεποίησαν [56], τοὺς τῶν ὀδόντων τύπους ἐπαφέντες τῷ μέρει τοῦ σώματος. Ὁ δὲ τῷ πρὸς Θεὸν ἔρωτι καθηλούμενος, καὶ τῆς ἐκείνων μοχθηρᾶς ἐπινοίας ὑπάρχων ὑπέρτερος, οὐδ' οὕτως ἐντρυφᾷν τῷ γεγονότι τοὺς βασκάνους ἐνέδωκε δαίμονας· ἀπομυρίσματι δὲ ξύλων τιμίων, ὡς εἶχε σπουδῆς, ἐπιχρίσας χεῖρα τὴν πάσχουσαν, ἐλευθέραν παντὸς θᾶττον ἢ λόγος ἐναπέδειξε μώλωπος. Ὢ τοῦ θαύματος! χάρις γὰρ θεία διηνεκῶς τοῖς ἐκείνου πόνοις ἐπαναπαυομένη, καὶ τρόποις ταπεινοῦ τοῦ φρονήματος, ἀποστολικῶν χαρίτων τῇ δωρεᾷ κατελάμπρυνε, καὶ ἐξαισίων θαυμασίων τερατουργὸν ἐνειργάσατο. Εἰ μὲν οὖν πάντα λέγειν ἐθελήσω ὅσα θεία χάρις τούτῳ δεδώρητο τὴν ἐνοικίαν ἀσπασαμένη, τούς τε τῶν ἐγκωμίων ἐπιλυμανοῦμαι νόμους, καὶ ὁ λόγος διαλυθεὶς ὡς ἐν μεγάλῳ πελάγει πλέων οἰχήσεται. Εἰ δὲ τὰ πλείω παρεὶς ὀλίγων ἐπιμνησθήσομαι, καὶ ὁ λόγος ἕξει τὸ ἀσφαλὲς ὥσπερ ἐπὶ κρηπῖδος ἐρηρεισμένος [57], κἀκ τῶν ῥηθέντων ἀκριβεστάτην ἕξει καὶ τὰ ὑπολειφθέντα τὴν δήλωσιν.

Ἀγρίου δαίμονος ἐπιφορᾷ τις τῶν ἐκεῖσε πολιορκούμενος, φρενῶν ἔρημος ἐξαίφνης καθίσταται· καὶ τὰς οἰκείας κατεσθίων σάρκας ὡς ἀλλοτρίας, βαρὺς ἑκάστῳ τῶν προσιόντων ἐδείκνυτο. Δεσμῷ τοῦτον περιβαλόντες πλείονες καὶ πέδαις ἀσφαλισάμενοι φρουρᾷ παρενέβαλον, φύλακας ἐπιστήσαντες· ἀλλὰ μιᾶς ἑσπέρας πρὸς Θεὸν ἱκεσία τοῦ παραλυποῦντος ἀποδείξασα ἐλεύθερον, τῶν πεδῶν ἐκπεσόντων ἀθρόον τοῦ σώματος, πρὸς τὸ Κυριακὸν σωφρόνως ἐπανιόντα παρέδειξεν, τὸν πρὶν παραπλῆγα καὶ πᾶσι δυσάντητον. Χρεία τις ἐκάλει τὸν ὅσιον πορευθῆναι πρὸς τὸ πολίχνιον· καὶ δὴ πορευθέντος χειμὼν ἐπιπίπτει παράδοξος, κύμασί τε πολλοῖς ἐξογκώσας τὴν θάλατταν, καὶ ἄγριον ἀνεγείρας τὸν κλύδωνα, τὴν ἐπάνοδον ἀπετείχιζεν. Ὁ δὲ τῇ συνήθει κρατυνόμενος πίστει, τῷ τὴν ἰδίαν ἐκπληροῦντι διακονίαν φησίν· Ἄγγειλον τῇ συνδούλῃ χαλάσαι τὸν κλύδωνα καὶ τὰ νῶτα ἡμῖν ὑφαπλῶσαι γαλήνια, ἵνα τὴν οἴκαδε πορείαν ἠρέμα ποιήσωμαι. Καὶ θᾶττον ἢ λόγος ἐπακολουθεῖ τὸ ἔργον, τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ὡς ἐν πᾶσι κἀν τούτῳ [58] δεικνύων ἐπαληθεύοντα, μείζονα ποιήσειν τοὺς οἰκείους θεράποντας τοῦ ἰδίου Δεσπότου διατεινόμενον. Πᾶσι δὲ τοῖς ἄλλοις λαμπόμενος κατορθώμασι, τῆς τῶν πενήτων ἐπιμελείας πλείονα φροντίδα τῶν ἄλλων ἐτίθετο· φιλαδελφίᾳ δὲ πλείστῃ τῶν ἄλλων κοσμούμενος, τὸν ἐξ αὐτῆς φυόμενον ἔλεον διαφερόντως ἠσπάζετο. Καὶ δὴ τοῖς προσιοῦσι χεῖρα

A abundaverat, vili nunc habitu gloriantem, majore ex illo, quam ex reliquis, percepta utilitate, ingenti lætitia repleti sunt. Ipse vero strenue propugnata veritate, ac errore everso, fide, quæ virtutum generalissima est, inclytus rediit.

Verum cum malitiæ auctores dæmones præclaris ipsius factis inviderent, ei nocte parumper dormienti impudenter illudere conati sunt. Manus enim ipsius pollicem, tanquam sues agrestes, dentibus corripientes, acerbum dolorem inusserunt, in eaque corporis parte luxata, dentium vestigia reliquerunt. At ille Dei amore confixus, et nequitia dæmonum animum gerens superiorem, ne sic quidem ea re gloriari invidos dæmones permisit, sed quam propere licuit pretiosorum lignorum unguento manum B luxatam ungens, dicto citius omni plaga liberam reddidit. O rem miram! gratia enim divina illius semper laboribus summissique animi motibus præsens, apostolicorum eum munerum gratia illustrabat, rerumque admirabilium effectorem præstabat. Equidem si omnia, quæ divina gratia in hoc sancto viro inhabitans elargita est, munera enumerare voluero, et laudandi leges transiliam, et oratio mea instar navigii in ingenti pelago magis dissolvetur. Quod si pauca quædam, pluribus omissis, commemorabo, et oratio tanquam littora legens in tuto versabitur, et ex iis quæ dicta fuerint, reliqua facile conjicientur.

C Cum sævi dæmonis impetu quidam illic sodalium opprimeretur, repente mentis vim amisit: carnesque proprias velut alienas lanians, cunctis adeuntibus molestus exsistebat. Itaque vinculis et compedibus revinctus, custodiæ plurium consilio adhibitis custodibus traditus fuerat. At vesperæ unius fusa ad Deum supplicatio, a vexante spiritu liberatum, vinculis repente dissilientibus, ad ecclesiam sana redeuntem mente ostendit, eum, qui prius mente captus, gravis omnibus erat ad occursum. Usu venit, ut vir sanctus ad oppidum quoddam maritimum accerseretur: sed in medio cursu tempesta ingens oborta est, qua pelagus immane quantum intumuit, sævoque excitato fluctu insuperabile iter redeunti effecit. At vir sanctus solita fide fretus, D proprium explenti ministerium ait: Conservo mari denuncia, ut frenet tempestatem, et fluctus tranquillos reddat, quo iter nostrum placide conficere valeamus. Atque ita confestim effectum est, ut Christus ac Deus noster hac item in re, quemadmodum in reliquis omnibus, vera dixisse demonstraretur, cum majora servos suos, quam ipse faceret, pollicitus est effecturos. Cæterum cum omnibus virtutibus excelleret, curandis tamen et sublevandis pauperibus majorem diligentiam adhibebat. Cum enim amore fraterno maxime teneretur, misericordiam ex eo proficiscentem in primis complectebа-

VARIÆ LECTIONES.

[53] γηννηκοτάτῃ Par. [54] ἐπανίει Par. [55] τῆς] τοῖς Par. h. l. et mox. [56] ἀνεποίησαν Par. [57] ἐρειρισμένος Par. [58] τοῦτο Par.

tur. Ac sane salutarem accedentibus manum porrigens, quarto mense quod monasterio suppetebat frumentum, modicum illud, ut vix familiæ usibus sufficeret, large effundebat. Cumque minister rem ægre ferret, atque illud ne familiæ quidem satis esse jurejurando affirmaret, miti voce frumentum numerare jubet. Quod ille cum fecisset, nullum acervo modium deesse comperit. Verum facilius sit, undas maris enumerare, aut cava manu pelagus dimetiri, quam res ab illo gestas admirabiles oratione complecti. Quamobrem aliis alia relinquentes commemoranda, quæ rei institutæ magis conveniunt ac præcipua sunt, prosequemur.

Ecclesiæ ager bonis omnibus abundabat. Nam et rectis institutis sanaque doctrina instructus erat, et factis congruentibus affluebat. Ac quidem religiosissimi imperatores pietatis studio potius quam imperii amplitudine gloriabantur. Porro magnus pontifex sublimem cathedram consecutus, virtutis lumina per universum orbem terrarum accendebat. Qui autem sub eo erant antistites, suos quique greges sine reprehensione tutos in portus perducebant. Monasteriorum denique præsides, quibus tanquam sol nitidissimus admirandus hic vir prælucebat, viam in cœlum ducentem docentes discipulos, nudum opibus eum, qui male prius dominatus esset, religiosa abdicatione monstrabant. Sed invidus serpens Ecclesiam tam multis bonis florentem videre non poterat, exque plebis peccatis occasionem arripiens, ita permittente Deo, Ecclesiæ pulchritudinem pervertere aggressus est. Verum cum propriæ perversitatis ministrum idoneum quæreret, aptiorem invenit, quam optabat: Leonem, inquam, scelestissimum hominem, qui ab Armeniis et Assyriis genus ducens, alterius gentis dolos ac morositatem, alterius feritatem numeris omnibus absoluta imitatione expresserat: imo vero longo eos intervallo superans, feritate dolos, dolis feritatem vincebat: ad mentiendum promptus, et ad persuadendum ea, quæ mentiebatur, aptissimus. Fraude loco virtutis utebatur, eamque adversus conjunctissimos exercebat. Hic in blandum, ac qui multum ei honoris habuerat imperatorem consurgens, ornatissimum ac qui nunquam occidat Ecclesiæ solem ejicit, ac cum illo omnes fere exturbat antistites. Hanc itaque ab apostolis per manus traditam institutionem spernens, divinæ carnis Christi imaginem exscindit; idemque in Matris ejus ac sanctorum venerandas imagines committit; ac Ecclesiæ graviores longe Ægyptiacis densissimasque tenebras offundit. Hinc tyrannorum quos tulit gentilitas violentiæ patrium astum admiscens, ac veterem illum Rapsacem [b] su-

κιχρῶν σωτήριον, μησὶ τέσσαρσι τὸν προσόντα τῇ μονῇ σῖτον, μηδὲ τοῖς οἴκοι δυνάμενον ἐπαρκεῖν, ἀφειδῶς [59] ἐξεφόρει. Τοῦ δὲ τὴν διακονίαν διέποντος ἐπὶ τούτῳ δυσχεραίνοντος, καὶ μηδὲ τοῖς οἴκοι δυνάμενον διαρκεῖν τοῦτον ἐπομνυμένου, πραεῖᾳ [60] φωνῇ τὸν σῖτον ἀριθμῆσαι διακελεύεται. Ὁ δὲ τοῦτο διαπραξάμενος, εὗρεν ὡς πρὸ τῆς διαδόσεως, μηδενὸς μεδίμνου τὸ σύνολον ἐπιλείψαντος. Ἀλλὰ γὰρ ῥᾷον κύματα θαλάττης ἐξαριθμεῖν, ἢ κοτύλῃ πέλαγος ἐκμετρεῖν, ἢ τὰς ἐκείνου τῶν θαυμάτων νιφάδας ἐγκωμίων λόγοις περιλαβεῖν. Διόπερ ἄλλοις ἄλλας ἐκφράζειν ἀφεὶς, ἐπὶ τὰ κυριώτερα τοῦ λόγου μετελεύσομαι.

Πᾶσι μὲν οὖν τὸ τῆς Ἐκκλησίας λήϊον ἤνθει καλοῖς, δόγμασι μὲν ὀρθοδόξοις ὡς μάλιστα καταρδόμενον, ἀναλόγοις δὲ τούτοις πιαινόμενον πράξεσι. Καὶ βασιλεῖς μὲν θεοφιλεῖς τούτοις [61], ἢ τῷ προσόντι τῆς βασιλείας ὄγκῳ μεγαλαυχούμενοι διεδείκνυντο· ἀρχιερεὺς δὲ ὁ μέγας [62] τῆς ὑψηλῆς ἐπειλημμένος καθέδρας, τὰς τῆς ἀρετῆς λαμπηδόνας γῆν ἐπὶ πᾶσαν, ὅσην ἥλιος ἐφορᾷ, διεπύρσευεν [63]· οἱ δ' ὑπ' αὐτὸν τελοῦντες ἀρχιερεῖς ἀμέμπτως τὴν οἰκείαν ἕκαστος ποίμνην οἱονεί τινα ὁλκάδα πρὸς γαληνίους λιμένας ἐπηδαλιούχει· οἱ δὲ τῶν σεμνείων προστάται, ὧν πρωτοστάτης ὑπῆρχε καὶ καθαρώτατος ἥλιος ὁ θαυμάσιος, τὴν ἐς οὐρανὸν φέρουσαν τοὺς ὑπ' αὐτοῖς ἐκδιδάσκοντες τρίβον, γυμνὸν κτημάτων ἐδείκνυον τὸν πρότερον κακῶς δυναστεύσαντα. Ἀλλ' οὐκ ἤνεγκεν ὁρᾷν ὄφις ὁ βάσκανος τηλικούτοις ἐπανθεῖν τὴν Ἐκκλησίαν καλοῖς, τὴν δὲ τῶν πολλῶν ἁμαρτίαν συνεργὸν προσκτησάμενος [64], συγχωρήσει θείᾳ τὸ ταύτης κάλλος ἐπιλυμήνασθαι διανίσταται. Ἄνδρα γοῦν ἐπιζητῶν τῆς ἰδίας σκαιότητος ἁπάσης χωρητικὸν, ἐφευρίσκει πλέον ἢ ἐβούλετο· Λέοντα τὸν ἐξάγιστον, ὃς Ἀρμενίοις τε καὶ Ἀσσυρίοις ἐπαναφέρων τὸ γένος, τῶν μὲν ἐπλούτει τὸ ὕπουλον καὶ κακόηθες, τῶν δὲ τὸ θηριῶδες εἰς ἅπαν ἐκμιμούμενος, μᾶλλον μὲν οὖν μακρῷ τῷ μέσῳ τούτους ὑπερβαλλόμενος, θηριωδίᾳ [65] μὲν ἐξενίκα τὸ ὕπουλον, ὑπουλότητι δὲ τὸ θηριῶδες παρέτρεχεν· ἕτοιμος μὲν ψεύσασθαι, δεινὸς δ' ἐπιθεῖναι [66] πίστιν τοῖς ἐψευσμένοις, ἀρετὴν ἡγούμενος τὴν ἀπάτην, καὶ ταύτῃ κατὰ τῶν οἰκειοτάτων χρώμενος· ὃς τῆς μειλιχίου καὶ πολλὰ τιμησάσης κατεξαναστὰς βασιλείας, ἐξωθεῖ μὲν τῆς Ἐκκλησίας τὸν παγκόσμιον καὶ ἄδυτον ἥλιον, συνεξωθεῖ δὲ τούτῳ τῶν ἀρχιερέων μικροῦ δεῖν τοὺς ἅπαντας· καὶ τὴν ἀνέκαθεν ἐξ ἀποστόλων ταύτην παράδοσιν παρ' οὐδὲν ἡγησάμενος, ἐξορύττει μὲν Χριστοῦ τῆς θείας σαρκὸς τὸ ὁμοίωμα· συνεξορύττει δὲ τῆς τούτου Μητρὸς καὶ πάντων τῶν [67] ἁγίων τὰ σεπτὰ εἰκονίσματα, καὶ τὴν Ἐκκλησίαν ψηλαφητοῦ σκότους ἐμπίμπλησι, πολλῷ τοῦ παρ' Αἰγυπτίοις χαλεπωτέρου. Ἐντεῦθεν τῇ Ἑλληνικῇ βίᾳ τὴν προ-

[b] Isa. XXXVI, 2.

VARIÆ LECTIONES.

[59] ἀφοιδῶς Par. [60] πρατείᾳ Par. [61] post τούτοις fortasse excidit μᾶλλον. [62] Nempe Michael Rancabus. Par. mg. [63] *S. Nicephorus patriarcha : non Leo III Rom. pontif., ut inepte notatum apud Surium.* Par. mg. [64] προστητησάμενος Par. [65] θηριωδία Par. [66] ἐπιθῆναι Par. [67] τῶν om. Par.

γονικὴν ἀναμίξας ἀπόνοιαν, ἐλάλει μὲν εἰς ὕψος ἀνομίαν τὸν παλαιὸν ἐκεῖνον Ῥαψάκην ὑπερβαλλόμενος· τὴν πόλιν δὲ Θεοῦ, τὴν Ἐκκλησίαν φημὶ, πολλοῖς κατασείειν ἐπεχείρει τοῖς μηχανήμασι. Πολιτεία μὲν οὖν εὐθὺς ἅπασα τῷ τῆς ἐκείνου βίας ἐναυάγει κλύδωνι, μηδ' ἀντισχεῖν ἐγχειρήσασα· οἱ δὲ τῷ ὕψει τῶν ἀρετῶν χειραγωγοῦντες τοὺς ἄλλους πρὸς τὰ οὐράνια, τοῖς τῆς πονηρίας ἐκείνου παρεσύρησαν κύμασι, εἰ καὶ μεταμελείᾳ τὴν ἧτταν ἀνεκαλέσαντο· οἱ δὲ τῶν ἐπὶ γῆς καὶ ἑαυτῶν ἀφειδήσαντες, καὶ φρενῶν ἀγχινοίᾳ τὴν πονηρίαν ἐκνικήσαντες, οἱ μὲν λιμῷ προσεκαρτέρουν, οἱ δὲ μάστιξι ἀνηλεῶς ᾐκίζοντο, ἔσθ' ὅτε καὶ νυκτὶ θαλάττῃ παραπεμπόμενοι.

Τότε δὴ, τότε πρὸς πόλιν καλεῖται καὶ ὁ θαυμάσιος, οὐ τυραννικῇ καὶ βιαίᾳ χειρὶ, ἀλλὰ θωπείαις ταῖς ἐξ ἔθους δῆθεν ἐκμαλασσόμενος. Κατ' ἐχθρῶν, φησὶν, ἐκστρατεία μοι παρέστη [68], καὶ δέον ταῖς εὐχαῖς καθοπλισθέντα πρότερον, οὕτω συμμῖξαι τοῖς πολεμίοις. Ὁ δὲ τὸ τῶν τρόπων κακόηθες ἐπιστάμενος, νεφρῷ πολυχρονίῳ καὶ δυσουρίᾳ τρυχόμενος (ὄργανα γὰρ διὰ τοῦ φυσικοῦ ὑπονόμου τῇ κύστῃ παραπεμπόμενα, καὶ τοὺς ἐγκειμένους ἐν ταύτῃ διαθρύπτοντα λίθους, τοῖς ἐκτὸς παρεπέμποντο, τὴν ἔξοδον τῷ ὑγρῷ περιττώματι, ὡς δυνατὸν, ἀκώλυτον μηχανώμενα [69])· τούτοις οὖν τρυχόμενος καὶ κλινήρης διὰ βίου ὑπάρχων ἀκατίῳ περαιωθεὶς πρὸς τὴν βασιλίδα πόλιν ἐγκαθορμίζεται. Τοῦτο δὴ μαθὼν ὁ ἐξάγιστος, τοιάδε τούτῳ διά τινος τῶν οἰκειοτάτων δηλοῖ (εἰς ὄψιν γὰρ ἀγαγεῖν, τὸ στεῤῥὸν, οἶμαι, τοῦ ἀνδρὸς διενθυμούμενος, ἠρυθρία)· Εἰ μὲν πειθήνιος ἥκεις ταῖς ἐμαῖς ἱκεσίαις (χρηστὰς γὰρ ἡμῖν ἐλπίδας τὸ σὸν προσηνὲς ἐντίθησιν), ἴσθι τοσούτων καταπολαύσων [70] καλῶν, ὅσον εἰκὸς ἐπαπολαύειν τοὺς τῆς οἰκείας φιλονεικίας βασιλικὴν συμβουλὴν καὶ παράκλησιν ποιουμένους ἐπίπροσθεν· τῆς τε σῆς μονῆς παντοίοις ἐξαιρομένης χαρίσμασι, καὶ τῶν συγγενῶν τιμῆς μεγίστης καὶ παῤῥησίας ἠξιωμένων, τὰ πρῶτα τῆς ἐμῆς φιλίας οἴσεις καὶ παῤῥησίας· εἰ δὲ, ὃ μηδὲ λογίσασθαι θέμις, τὴν οἰκείαν ἔριν τῆς ἐμῆς ἱκεσίας προτιμησάμενος, ὑπερόπτης μὲν τῆς ἐμῆς συμβουλῆς [71], ὑπερόπτης δὲ τῶν προτεινομένων γενήσῃ καλῶν, ἄκων διαπραξάμενος ἅπερ ἑκὼν οὐ βούλει, σαυτῷ μεγίστης αἰσχύνης καὶ δυσβουλίας [72] ἔσῃ παραίτιος.

Ὁ δὲ θειότατος τῆς εὐηθείας τῶν λεγομένων ἐκμυκτηρίσας τὸν εἰρηκότα, τοιοῖσδε λόγοις ἀμείβεται τὸν πεπομφότα· Χρημάτων μὲν καὶ κτημάτων, καὶ ὅσα τῆς παρούσης ἐστὶ καλὰ βιοτῆς, οὐδενὸς ἐν χρείᾳ καθέστηκα· ἃ [73] γὰρ νεάζων ἀπεσεισάμην δυνάμενος χρῆσθαι, τῷ Χριστοῦ κεκρατημένος ἔρωτι, πῶς ἂν γηραιὸς ἐπ' ἀθετήσει τοῦ ποθουμένου προσδέξομαι; καὶ ταῦτα τῶν ἐπικειμένων νοσημάτων τῷ σώματι ταχεῖαν μηνυόντων τὴν ἔξοδον καὶ τὴν κτῆσιν τούτων ματαίαν ὑπεμφαινόντων· μονῆς δὲ καὶ συγγενῶν Θεῷ μελήσει, ᾧ καὶ παρατίθημι

A perans, iniquitatem in sublime loquebatur; et civitatem Dei, quæ est Ecclesia, multis machinamentis dolisque concutere studebat. Statim itaque omnis res publica hujus violentiæ procella naufragium facere, cum ne obniti quidem conaretur. Qui virtutum quo præstabant merito reliquis ad cœlestia duces erant, illius nequitiæ fluctibus secus agi, astuque decipi, tametsi pœnitentiæ remedio noxam resarcivere. Qui autem res terrenas, seque ipsos contemnentes mentis solertia scelus vicerant, qua fame conficiebantur, qua verberibus dire excruciabantur: nonnunquam etiam noctu conjiciebantur in mare.

Tunc igitur, tunc ad certamen vocatur etiam vir admirandus, non quidem manu tyrannica, et ut B illata vi adducatur; sed ut tyranno consuetis blanditiis ac dolis ad iter inducatur. Adversus hostes, aiebat, belli mihi moles incumbit: sed antequam manus cum illis conseram, precum tuarum præsidio muniar necesse est. Theophanes autem, cognita hominis malitia, quamvis renum et urinæ difficultate laboraret (instrumentis enim per naturalem cuniculum in vesicam admissis, quæ lapides insitos commolirent, humidis excrementis exitum præbebat) ac cum maximis molestiis vexaretur, inque lectulo ægrotus assidue decumberet, scapha tamen ad urbem regiam trajecit. Quod cum scelestissimus ille intellexisset, sancti viri aspectum (ejus puto constantiam animo reputans) veritus, per unum aliquem maximæ inter illius domesticos C fidei, hæc illi significat: Si venisti, ut mihi morem geras (morum enim qua præditus es lenitas, ut de te id sperem, facile suadet), scio tam multis te bonis fruiturum, quam multis eos frui par est, qui propriæ voluntati imperatoris voluntatem et consilium anteponunt: tumque monasterio tuo omnis generis muneribus aucto, tum propinquis tuis maximis dignitatibus favoreque regio condecoratis, primas apud me amicitiæ ac auctoritatis partes ipse consequeris. Sin, quod vix cogitare fas est, pervicaci animo tuo preces meas posthabueris, et consilium meum neglexeris, ac quæ tibi proponuntur, bona fueris aspernatus, invitus faciens, quæ volens recusas, maximi tibi ipse dede- D coris ac calamitatis auctor exsistes.

Ad hæc vir divinus, perspecta dictorum stultitia, auctoremque irridens, ita nuntio respondet: Ego nec pecuniis, nec possessionibus, aut ullis aliis vitæ hujus bonis indigeo. Quæ enim adolescens, cum iis frui possem, amore Christi inflammatus repudiavi, ea jam senex quomodo complectar, ac eum cujus desiderio teneor, contemnam? præsertim cum corpus morbis confectum sit, ut vitæ finis procul abesse non possit, et hæc inania esse constet. Quod autem ad monasterium propinquosque pertinet, id Deo erit curæ, cui utrosque commendo:

VARIÆ LECTIONES.

[68] παρίστη Par. [69] μηχανόμενοι Par. [70] καταπολαύων Par. [71] βούλῃ Par. [72] δυσβουλείας Par.
[73] Legebatur οὗ.

et quibus Deus melius, quam imperatores et principes, consulere potest. Quod si, quemadmodum pueros parum generosos magistri scutica perterrefaciunt, ita tu me morbo et senectute confectum, minis territum iri speras, rogus accendatur, tormenta parentur, et omnia cruciatuum genera, eaque ejusmodi, ut vim omnem propositi superent, artificiososque cunctos modos excedant; ut scias planissime, Christi virtutem in meis infirmitatibus perfici. Ego qui in terra gradi non valeo, valetudinis infirmitate superata, in rogum promptus insiliam.

His auditis, turpissimus ille constantiam quidem animi fortis admiratus est; de victoria tamen spem non abjecit, hominis inter suos dolis strenuissimi fretus suadæ vi: is nempe magorum præstigiis, ac sophistarum imposturis, Græcorumque auspiciis, atque jecinoris inspectionibus, quam disciplinis instructior erat; cumque miserum hominem in impietatis barathrum traxisset, apud eum valebat plurimum. Huic beatum tradit Theophanem, sperans illius verborum lenocinio omnino deceptum iri. Verum tanquam asinus ad lyram deprehensus est. Invictam itaque viri sancti dicendi libertatem vehementius admiratus, antequam congrederetur, se victum esse confessus est: nuntiavitque imperatori, eum præstantiorem esse, quam ut oratione, aut minis ullis superari posset: quin etiam si ibi diutius commoraretur, fore, ut aliorum animos in sententiam jamjam concessuros, a proposito absterreret. O mentem adamante firmiorem, et nullis cedentem machinis oppugnantibus veritatem! O amoris vim erga Creatorem incredibilem, quæ nullis vitæ tentationibus dissolvi potuit! Cæterum ab impugnatione non destitit homo tyrannica plenus credulitate: sed virum sanctum in Eleutherii palatio includi jubet, adhibitis custodibus, ne quis humanitate ductus, ei propter Christum patienti consolationem ullam afferret. Itaque corpus ejus diuturna fame confectum, paulatim tabescebat; ipsumque hoc detrimenti loco erat, quod non cita morte tolleretur. Morbi porro per medicorum curæ absentiam grassandi nacti licentiam, gravius sæviebant, et vitam reddebant morte ipsa longe acerbiorem. At ipse, ejus qui desiderabilium primatum tenet desideratissimam pulchritudinem in deliciis habens, quæ nec auditu reliquis tolerabilia sunt, patienti ac æquo animo perferebat. Gaudebant angeli, cum tolerantiæ vim, quæ longo tempore ab humanis exsulaverat, postliminio reversam felici longe spectaculo cernerent: ac viri sancti præstanti adversus hostes virtute lætantes, victoriæ præconium illi concinebant. Horrebant dæmones, quod sanctos, quorum vel nomina audire non poterant, et imagines oppu-

A τούτους, τῷ κρειττόνως ἐπικουρεῖν δυναμένῳ ἢ βασιλεῖς τε καὶ ἄρχοντες. Εἰ δὲ νόσοις καὶ γήρατι θαρῥυνόμενος, αἵ με νῦν συνέχουσι, μορμολύττεις ταῖς ἀπειλαῖς καὶ δειματοῦν ἐθέλεις, καθάπερ σκυτάλῃ τὰ ἀγενῆ τῶν μειρακίων οἱ παιδευταὶ, ἀπτέσθω πυρὰ, ἑτοιμαζέσθω στρεβλωτήρια, καὶ πρόθεσιν ἅπασαν ἐκνικῶντα, καὶ τρόπους μηχανημάτων παρατρέχοντα, ὅπως εἰδῇς ἐν ταῖς ἐμαῖς ἀσθενείαις τὴν τοῦ Χριστοῦ τελειουμένην σαφέστατα δύναμιν. Αὐτὸς πρὸς τὴν πυρὰν ἐλθεῖν ἐπειχθήσομαι, ὁ γῆς ἐπιβῆναι ὅλως οὐ δυνάμενος, τὴν ἐπικειμένην ἀσθένειαν ἐκνικήσας τῇ προθυμίᾳ.

Ταῦτα μαθὼν ὁ τρισάθλιος, κατεπλάγη μὲν οἵης [74] τοῦ γενναίου ψυχῆς τὸ παράστημα· οὐ μὴν ἀπέγνω B τὴν νίκην, τῷ γενναιοτάτῳ τῶν παρ' αὐτῷ θαῤῥῶν ἀθλητῶν, ὃς γοητικαῖς τῷ ὄντι καλλωπιζόμενος μαγγανείαις καὶ σοφιστικαῖς δῆθεν ἐκεκαλλώπιστο [75] τερατείαις, ταῖς Ἑλλήνων οἰωνοσκοπίαις καὶ ταῖς δι' ἥπατος μαντείαις ἐπὶ πλείω μεγαλαυχούμενος, ἢ τοῖς μαθήμασιν. Οὗτος πρὸς τὸ τῆς ἀσεβείας ἑλκύσας τὸν δύστηνον βάραθρον, τὰ πρῶτα παρ' αὐτῷ τῆς δυναστείας ἐκέκτητο. Τούτῳ τὸν μακάριον ἐκδίδωσι, ἁλῶναι πάντως τῇ ἴυγγι τῶν τούτου λόγων οἰόμενος. Ἀλλ' ὄνος ᾄδων πρὸς λύραν ἡλίσκετο· καὶ τῇ ἀμάχῳ τοῦ ἀνδρὸς παῤῥησίᾳ τῶν λόγων καταπλαγεὶς, πρὸ συμπλοκῆς τὴν ἧτταν ἠσπάζετο, καὶ τῷ κρατοῦντι διήγγειλεν ὡς κρείττων [76] παντὸς λόγου καὶ ἀπειλῶν ὁ ἀνὴρ, καὶ τοὺς ἤδη πεισθησομένους [77] ἐπιμείνας τῷ τόπῳ ἀνακόψει τῆς ἐγχειρήσεως. C Ὢ γνώμης ἀδάμαντος στεῤῥοτέρας καὶ ἀνυπείκτου πᾶσι τοῖς κατὰ τῆς ἀληθείας μηχανήμασιν! ὢ φίλτρον περὶ τὸν Κτίστην ἀκόρεστον, ὑπὸ μηδενὸς τῶν τοῦ βίου πειρατηρίων διαλυόμενον! Ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης ὁ τυραννικῆς ὠμότητος ἔμπλεος· τοῖς τῶν Ἐλευθερίου δὲ ἀνακτόροις ἀσφαλεστάτῃ φρουρᾷ παραδίδωσι, φύλακας ἐπιστήσας, τοῦ μή τινα τῶν οἷς αἰδὼς τῆς φύσεως πρόσεστι παραμυθίαν ἐμποιῆσαι τῷ διὰ Χριστὸν κακουμένῳ. Σῶμα μὲν οὖν λιμῷ πολυχρονίῳ τηκόμενον κατὰ μέρος πρὸς φθορὰν ἠπείγετο [77*], καὶ αὐτὴν τὴν ὀξεῖαν τελευτὴν ζημιούμενον· νόσοι δὲ τῆς [78] τῶν ἰατρῶν ἐπικουρίας ἐλευθερίαν εὑράμεναι, ἀλγεινότερον ἐπεκώμαζον, κατὰ πολὺ τῆς ζωῆς ἰδιοποιοῦσαι τὴν τελευτήν. Ἀλλ' ἡ διάνοια τοῦ πρώτου τῶν ὀρεκτῶν τοῖς παμD ποθήτοις ἐντρυφῶσα κάλλεσι τὰ τοῖς ἄλλοις μηδ' ἀκοῇ φορητὰ ῥᾷον ἔφερεν. Ἔχαιρον ἄγγελοι τὴν μακροῖς χρόνοις τῶν βροτῶν δραπετεύσασαν καρτερίαν ὀφθαλμοῖς αὖθις ἐπανελθοῦσαν ἐπιδεῖν εὐτυχήσαντες· καὶ τῇ τούτου συνηδόμενοι κατ' ἐχθρῶν ἀριστείᾳ, τὸ ἐπινίκιον ἐπανηγύριζον. Ἔφριττον δαίμονες, ὧν μηδ' ἀκοῇ φέρειν ἠνείχοντο τὰ ὀνόματα, καὶ ὧν προσεπολέμουν τοῖς εἰκονίσμασι, τούτους αὖθις αὐτοῖς ἐπανατέλλοντας πράγμασι θεᾶσθαι κακοδαιμονήσαντες, καὶ βασκανίᾳ διαπριόμενοι, τοὺς ἑαυτῶν ὑπηρέτας τῆς ἀσθενείας [79] ἐκάκιζον. Χρι-

VARIÆ LECTIONES.

[74] οἴης] fort. τῆς. [75] ἐκκαλλώπ. Par. [76] χρείττω Par. [77] πειθησομένους Par. [77*] ἐπείγετο Par. [78] τῆς τοῖς Par. [79] ἀσθενίας Par.

στὸς δὲ, τοῖς πάντα λόγον νικῶσι τὸν οἰκεῖον ἀριστέα A καταλαμπρύνων χαρίσμασι, τῷ νικητικῷ κατηγλάϊζε στέφει.

gnabant, rursum ipsis factis florentes spectare cogerentur, misereque acti invidia satellites suos ac ministros imbecillitatis arguebant. Christus denique muneribus omnem vim dicendi superantibus pugilem suum decoratum victoriæ corona donavit.

Δυσὶ γοῦν ἔτεσι τῇ ἀτλητοτάτῃ προσκαρτερήσας εἱρκτῇ, τῇ Σαμοθρᾴκῃ παραπέμπεται νήσῳ· ὃ καὶ νοερῷ προϊδὼν ὀφθαλμῷ, τῷ τὴν ὑπηρεσίαν πληροῦντι προήγγειλε· καὶ τρισὶν ἡμέραις πρὸς εἴκοσι τῇ νήσῳ προσβιοὺς, ὡς εὐώδης θυσία τῷ κοινῷ Δεσπότῃ προσφέρεται, καὶ ταῖς ἐκείνου χερσὶν τὸ ἱερὸν καὶ πάναγνον ἐπαφεὶς πνεῦμα, πρὸς τὴν πάλαι ποθουμένην ἐπαναφέρεται κληρουχίαν. Ἀλλ' οὐδὲ τὸ νικηφόρον τούτου σῶμα, καὶ τῇ ψυχῇ σύνδρομον ἐν πᾶσι καλοῖς, τῶν κατὰ δύναμιν γερῶν ἀπελείπετο. Χερσὶ μὲν θεοφιλῶν ξυλίνῃ κατατίθεται λάρνακι, B καὶ ταῖς προσηκούσαις, ὡς ὁ καιρὸς ἐδίδου, γεραιρόμενον ὑμνῳδίαις, ἐξαισίοις δὲ χάρισι παρὰ Θεοῦ κληϊζόμενον. Λοιμοῦ γοῦν ἐπικειμένου τοῖς κατὰ τὴν νῆσον κτήνεσι, καὶ αἰφνιδίως τῷ θανάτῳ παραπέμποντος, ἄκρᾳ τῇ λάρνακι ὕδωρ ἀπομυρίσαντες (οὐ γὰρ προσψαῦσαι τοῦ θείου κατετόλμησαν σώματος), καὶ τοῖς νοσοῦσιν ἐπιῤῥάναντες, ἐλεύθερα τῆς ἐπικειμένης αὐτοῖς ἐναπέδειξαν λοίμης.

Duos igitur annos acerbissimo defunctus carcere, in Samothracem insulam deportatur: quod ipse mentis oculo prospiciens, ei, qui sibi ministrabat, prænuntiaverat. Cumque tres supra viginti illic dies egisset, tanquam suavis hostia communi Domino oblatus est: illiusque manibus sacrum ac sanctissimum spiritum suum tradens, ad hæreditatem olim desideratam contendit. Neque vero victoriæ insignibus clarum ejus corpus, ac quod animo gerenda omni virtute socium comesque exstiterat, meritis muneribus caruit, quanta in ipsum conferre licuit. Nam piorum virorum manibus in lignea arca compositum, et convenientibus cantibus, ut tempus ferebat elatum, admirandis gratiis a Deo fuit illustratum. Cum enim lues in insulæ pecora desæviret, adeo ut mortua repente conciderent, aqua extremis illius arcæ oris delibuta (neque enim corpus ausi erant contingere) pecora peste laborantia conspergebant, et periculo liberabant.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ δίκην δίδωσιν μίαν ἀντὶ πολλῶν τῶν ἀδικημάτων ὁ τῆς Χριστοῦ Ἐκκλησίας ἄγριος μονιὸς, ἐν ἱεροῖς τόποις, εἰς οὓς κακῶς ἐνύβρισεν [80], ἀσχημόνως καταστρέψας τὸν βίον· καὶ τῆς παχείας ὁμίχλης ἀπὸ μέρους ἐκκαθαρθείσης, ἀχλυώδης τις ἐλευθερίας ἐπανέτειλεν ἥλιος, λεπτοτάτοις ὑπολαμπόμενος νέφεσι. Τότε δὴ, τότε θαῤῥήσαντες C οἱ τοῦ θαυμασίου φοιτηταὶ, λέμβῳ τῇ νήσῳ προσορμίζονται, καὶ τὸ ἀοίδιμον ἐκεῖνο καὶ λαμπροτάτας ἀποστίλβον τὰς χάριτας σῶμα σὺν τῇ λάρνακι κομισάμενοι ἐπανάγουσιν εἰς τόπον τινὰ, σημείοις ἀπέχοντα τῆς μονῆς δύο καὶ δέκα. Ὄνομα τῷ τόπῳ φασὶν Ἱέρεια....

Haud multo post immitis ille Ecclesiæ Christi aper, multorum reatum scelerum uno supplicio luit; inque sacris locis, in quæ nequiter debacchatus fuerat, turpiter vitam amisit. Quare, densa caligine paulisper disjecta, obscurus quidam libertatis sol, tenuissimis nubibus sublucens emersit. Tunc igitur sancti viri discipuli assumpta fiducia in insulam navigio advecti, præclarum illud et splendidissimis gratiis effulgens corpus cum arca sublatum, in locum quemdam Hieria dictum asportant, duodecim stadiorum intervallo a monasterio dissitum, inque templo sancti martyris Procopii deponunt.

Ἀλλ' ὁ δοξάζων τοὺς αὐτὸν δοξάζοντας Κύριος, τῆς μελλούσης δόξης τούτου φανερῶν τὴν κατάστασιν, τοὺς ἀνὰ πᾶσαν ἐκείνην οἰκοῦντας τὴν γῆν τῶν τούτου χαρίτων μετασχεῖν ἐνεποίησεν. Ἤγοντο γοῦν οἱ νόσοις ἀνηκέστοις πεπεδημένοι, κύματα θαλάττης ἀπομιμούμενοι, τῶν τούτου καλῶν εὐμοιρῆσαι διασπουδάζοντες· καὶ δαιμονῶντες μὲν βίᾳ τῷ κράτει τῆς ἐξουσίας ἑλκόμενοι (ὀλολυγμοῖς γὰρ καὶ φωναῖς D ἐξαισίοις τοῦτο διεσήμαινον), τῇ θίξει [81] μόνῃ τῆς θήκης, ἢ καὶ [82] ἐπιμυρίσματι, τῶν ἐνοχλούντων ἀπολυόμενοι τῷ σεσωκότι δι' αὐτοῦ Θεῷ τὴν προσήκουσαν ἀναφέροντες εὐχαριστίαν ἐπανῄεσαν. Οἱ δὲ κρυφίως τῆς ἐκείνων λοίμης μετειληφότες, τοῖς αὐτοῖς κατανάγκοις εἰς τοὐμφανὲς ἀγομένων, τῶν ἐνοικούντων ἐπιταγῇ τοῦ ἀθλητοῦ δραπετευόντων, ἐλευθερούμενοι διεδείκνυντο. Παράλυτοι ταῖς κλίναις μόλις ἐπιφερόμενοι, τῷ τούτου σθένει τὰ μέλη σφιγγόμενοι, τοῖς ὤμοις ταύτας ἀναφέροντες σὺν εὐφημίαις ἀπῄεσαν. Τυφλοὶ, τῇ παντελεῖ τοῦ σώματος ἀπρα-

Hic ille, qui eos, a quibus honoratur, honoribus afficit, ut futuræ gloriæ sancti sui statum declararet, incolas omnes illius regionis munerum ipsius fecit esse participes. Confluebant enim, undarum instar, qui morbis gravissimis, nec ullam curationem admittentibus laborantes, illius impertiri bonis satagebant; ac quidem a dæmonibus vexati, invitis, ac dolorem suum clamore nimio gemituque testantibus, cum adhibita vi huc pertraherentur, solo arcæ contactu, sive etiam aqua arcæ attactu delibuta ab spirituum nequam vexatione soluti, Deo, qui per illum sanos effecisset, quas par erat gratias agentes, domum revertebantur. Qui autem clam ea peste laborabant, eadem se necessitate prodentibus dæmonibus, athletæque jussu diffugientibus, ab iis liberi reddebantur. Paralytici, qui vix in lectulis suis gestari poterant, sancti virtute corroboratis membris, lectulos humeris reportantes, ad sua redibant. Cæci, qui omni corporis actione

VARIÆ LECTIONES.

[80] ἐνύβρισιν Par. [81] θήξει Par. [82] εἰ καὶ Par.

destituti aliorum manibus ducebantur, verosque duces lumina requirentes venerant, voti compotes facti sine labore ita redibant, ut alienæ manus opera nulla desideraretur. Claudi, membra corporis, quibus gradi insuetum est, humi fœde trahentes, aut alienas manus ad iter mutuantes, caprearum in morem rectis tibiis saliendo discedebant. Qui aurium, aut linguæ munere fungi non poterant, miro novoque eventu aliorum fabulantium sermones audientes, pari cum eis voce gratias agebant. Feminæ, quæ perpetuo fluxu sanguinis laborantes, insiti caloris discessu emortuo pene corpore fuerant, non Domini fimbriæ, sed servi arcæ contactu mirabiliter exsiccato fluxu, grati probique animi monumento gratiarum actionis fontes promebant. Chirographum flagitiosis actionibus plenum, cum obsignatum arcæ admotum esset, sic omnes mundum aspexerunt, ac si nihil unquam in eo fuisset scriptum; cunctique apostolicam potestatem ex hujus arca manantem suspexerunt. Verum, quis ea, quæ tunc ab ipso gesta sunt, singulatim valeat enarrare, oum ne genera quidem numerari facile queant? quisve etiam, quamvis illi linguæ sint decem oraque decem, scriptis consignare?

Integrum igitur annum in templo illustris Christi martyris Procopii commorati, ne supplices divino viri munere prohiberent, vix tandem aliquando iter ad ejus monasterium recta contenderunt, cum ordine quadruplici circa feretrum ipsius constitissent. Medio enim inter Patres loco constituti viri nobiles in humeros sublatum, velut arcam quamdam gestabant; in qua non urna erat ingrati populi cibum conservans, non lapideæ tabulæ, non virga Aaron . . . . qui virtutem omni reprehensione superiorem ostenderat, innataque tranquillitate invidiæ aculeos obtuderat; qui charitatis insignibus eximie claruerat; qui fide, cui nihil ambiguum est, in primis præstiterat, inque ea adversariorum munitiones everterat; qui spe Christi firmissima velut thorace munitus atque protectus, hostium tela prorsus inania stultaque ostenderat; qui donorum Spiritus fluvius erat; qui pectus omne quibus affluebat gratiis, exhilararet; in Ecclesiæ firmamento sol occasum nesciens, semperque lucidus esset: qui hæreticorum oculos doctrinæ splendore perstrinxerat, piorumque animos ad fidem inculpatam direxerat.

O ægrotantium medice! o peccatorum propitiatio, largire mihi celerem mearum ægritudinum curationem: ut recuperata sanitate, rursum ad te supplex accedam, gratique animi testimonium afferam. Libera me a periculis, quæ quotidie imminent, ut cum pulcherrimis factis pro virili mea incubuero, illorum te auctorem perspicue agnoscam.

A ξίᾳ [83] πεδώμενοι [84], ὑφ' ἑτέρων χειραγωγούμενοι, τὸν ὄντως χειραγωγὸν ἐπιζητοῦντες ὀφθαλμὸν ἐπήρχοντο, καὶ τὸ ποθούμενον ἀμόχθως εὑρίσκοντες ἐπανήρχοντο, τοῦ χειραγωγεῖσθαι μετὰ τῆς νόσου δραπετεύσαντες. Χωλοὶ τὰ μέλη τοῦ σώματος, ἃ τῇ γῇ προσβαίνειν οὐκ εἴωθεν [85] ἐπ' ἐδάφους καθυβρίζοντες, οἱ τὰς ἑτέρων χεῖρας δανειζόμενοι πρὸς τὴν ἔλευσιν, δορκάδος δίκην ἀλλόμενοι ποσὶν ἀρτίοις ἐποιοῦντο τὴν ἀναχώρησιν. Ἀκοῆς δὲ καὶ τοῦ λέγειν ἕτεροι καταδικασθέντες τὴν στέρησιν, τῆς ἑτέρων ὁμιλίας παραδόξως ἐπακούοντες, ὁμόφωνον τὴν εὐχαριστίαν ἀνήργουν. Αἱμοῤῥοοῦντα γύναια τῇ διηνεκεῖ χύσει τοῦ αἵματος, τοῦ ἐμφύτου θερμοῦ τῇ ἀποχωρήσει πρὸς νέκρωσιν ἀπαγόμενα, οὐ κρασπέδου Δεσποτικοῦ, δουλικῆς δὲ θήκης ἐφαπτόμενα, παραδόξως B ἀναξηρανθείσης τῆς ῥύσεως, πηγὰς εὐχαριστίας εὐγνωμόνως ἀνέβλυζον. Χειρόγραφον μεστὸν μοχθηρῶν πράξεων ἐσφραγισμένον τῇ θήκῃ προσανατεθὲν, ὡς μηδεπώποτε γραφὲν τοῖς πᾶσιν ἐγνωρίζετο, καὶ τὴν ἀποστολικὴν ἐξουσίαν ἐθαύμαζον τῆς τούτου θήκης ἀναβλύζουσαν. Ἀλλὰ τίς ἂν λόγος τῶν τότε πραχθέντων τούτῳ τὸ πλῆθος κατὰ μέρος ἐξειπεῖν δυνήσεται, ὅπουγε καὶ κατ' εἶδος οὐκ εὐχερές; ποῖος δὲ γραφῇ παραδοῦναι, κἂν εἰ δέκα στομάτων καὶ γλωσσῶν εὐμοιρήσειεν;

Ὅλον γοῦν ἐνιαυτὸν τῷ ναῷ τοῦ καλλινίκου Προκοπίου προσκαρτερήσαντες, τοῦ μὴ τὴν θεόβρυτον χάριν τοῦ μάκαρος ἀναστεῖλαι τῶν δεομένων, ὀψὲ καὶ μόλις τὴν εὐθὺ τῆς ἐκείνου μονῆς τρίβον ᾔεσαν, τετραμερῶς σφᾶς αὐτοὺς περὶ τὴν θήκην ἐντάξαντες. C Μέσον γὰρ τῶν Πατέρων οἱ πρόκριτοι ὤμοισιν ἄραντες, οἷά τινα κιβωτὸν ἐκόμιζον, οὐ στάμνον ἔχουσαν ἔνδον ἀγνωμόνων τροφῆς φυλακτήριον, καὶ πλάκας λιθίνας, καὶ τὴν ῥάβδον [86] . . . μων. Τοῦ σώματος· ὁ μόνος δείξας ἀρετὴν ἀνωτέραν μώμου παντὸς, ἀμβλύνας τε φθόνου κέντρα τῇ φυσικῇ γαληνότητι· ὁ θεσμοῖς ἀγάπης ἐξόχως λαμπόμενος· ὁ πίστει μηδὲν ἀμφήριστον κεκτημένῃ μόνος φραξάμενος, καὶ τὰ τῶν ἐναντίων καταβαλὼν ὀχυρώματα· ὁ ἐλπίδι Χριστοῦ τῇ ἀῤῥαγεστάτῃ διὰ βίον θωρακισάμενος, καὶ τὰ τῶν πολεμίων δι' αὐτῆς βέλη κωφὰ πᾶσιν ἐναποδείξας καὶ μάταια· ὁ ποταμὸς τῶν χαρισμάτων τοῦ Πνεύματος· ὁ πᾶσαν καρδίαν ἱλαρύνων ταῖς χάρισι· ὁ τοῦ τῆς Ἐκκλησίας στερεώματος ἄδυτος ἥλιος· ὁ D κόρας μὲν αἱρεσιωτῶν ἀμβλύνας τῇ τῶν δογμάτων λαμπρότητι, ψυχὰς δὲ θεοφιλῶν χειραγωγήσας πρὸς πίστιν ἀμώμητον.

Τὸ τῶν ἀσθενῶν ἰατήριον, τῶν πταιόντων τὸ ἱλαστήριον, δίδου μοι τῶν ἐπικειμένων νοσημάτων ἐλευθερίαν τάχιστα, ἵνα ῥαΐσας φανῶ πάλιν ἱκέτης εὐχάριστος. Δίδου μοι τῶν ὁσημέραι προσγινομένων περιστάσεων ἀπολύτρωσιν, ἵνα ταῖς καλλίσταις τῶν πράξεων ἐκδαπανήσας τὸ δύνασθαι, Δημιουργὸν ἐπιγράψω τῶν κατορθωμάτων σαφέστατα, ἁμαρτιῶν

VARIÆ LECTIONES

[83] malim ἀορασίᾳ mg. Par. male. [84] πεδούμενοι Par. [85] οἴωθεν Par., sed aliud vitium latet. [86] Deest unum folium: nec minus in Lipomano, etsi illius interpres velut nulla esset lacuna cuncta connectit. mg. Par.

ἀγνοίας καὶ νεότητος παρὰ Θεοῦ τῶν ἐμῶν ἀποκοπὰς αἰτησάμενος, ὡς πρὶν ἐκείνου τοῦ τῇ σῇ θήκῃ τὸν χάρτην ἀναθεμένου, λαμπρὸν προστάτην τοῦ φοβεροῦ βήματος ἐναπόδειξον· τοῦ καθ' ἡμῶν κακίστου φθόνου τὰ κέντρα παραδόξως ἀμβλύνας, ἀνωτέρους τῆς τῶν βασκάνων διατήρησον λοίμης· ἵν' ἀπρόσκοπον διὰ σοῦ τὴν τῆς σωτηρίας διανύοντες τρίβον, τὸ ἐπινίκιον τῆς σῆς σεπτῆς ἀριστείας σὺν εὐθυμίᾳ πανηγυρίζωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἐς ἀεί [87].

A Ignorantiæ ac juventutis delicta mea divina aboleri clementia exorans, uti quondam illius, qui tuo chartam imposuit loculo, præclarum te mihi patronum ante judicis tremendum tribunal ostendito. Pessimæ contra nos incitatæ invidiæ tela mira dexteritate detundens, ab invidorum peste tutos integrosque conserva : ut sine offensione præsidio tuo salutis semitam conficientes, venerandi tui certaminis tropæa lætis animis celebremus; in Christo Jesu Domino nostro : cui gloria et imperium in sæcula sæculorum.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ [88] ΙΒ, ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ ΤΗΣ ΣΙΓΓΡΙΑΝΗΣ.

MENSIS MARTIS DIE 12, SANCTI PATRIS NOSTRI THEOPHANIS CONFESSORIS SINGRIANÆ MONACHI.

Εἰς τὸ « Κύριε, ἐκέκραξα », ν' στιχηρόν. Ἦχος πλάγ. δ'.

B

Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ θεόφρον Θεόφανες, θεοφανείας Χριστοῦ κεκλημένος ἐπώνυμος, ζωηφόροις ἴχνεσι τοῖς αὐτοῦ ἠκολούθησας, καὶ τὰ τερπνὰ τοῦ βίου κατέλιπες, ἐνατενίζων τῷ ποθουμένῳ σοι κάλλει, πανάριστε· καὶ ταῖς θείαις νεύσεσι ταῖς πρὸς αὐτὸν ἄριστα θεούμενος καὶ τελεώτατα.

Ὅμοιον.

Πάτερ θεόφρον Θεόφανες, ὑπερορίας πικρὰς ἀσθενῶς διακείμενος καρτερῶς ὑπήνεγκας, ἀφειδήσας τοῦ σώματος ὑπὲρ σεπτῶν εἰκόνων, πανεύφημε· θυμῷ λεόντων ἐξοριζόμενος ὡς κατορχούμενος τὰς βουλὰς ἐμώρανας, καὶ λογισμοὺς ὄντως ματαιόφρονας καὶ νοῦν ἀλάστορα.

Ὅμοιον.

Ὄντως ἀμοιβὰς τῶν πόνων σου τῶν ἀγαθῶν ὁ δοτὴρ δαψιλῶς σοι δεδώρηται, ἀπελαύνειν δαίμονας, θεραπεύειν νοσήματα παρεσχηκώς, τρισμάκαρ, τὴν δύναμιν· κατηξιώθης καὶ τῆς ἀφράστου χαρᾶς ἔνθα χορεύουσι τῶν ἀγγέλων τάγματα, διὰ παντὸς πρόσωπον θεώμενος τοῦ παντοκράτορος.

Κανὼν τοῦ ἁγίου, οὗ ἡ ἀκροστιχίς· « Θεοφάνης μέλπει τε τὸν Θεοφάνην. »

Ὠδ. α', ἦχ. δ'. *Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος.*

Θεοῦ τοῦ σαρκὶ φανέντος ἴχνεσιν ἐπηκολούθησας, ἐν εὐσεβείᾳ, Πάτερ, πυρσωθείς, ὡς ἐντεῦθεν τὴν κλῆσιν πλουτεῖν τὴν ἀληθῶς φερώνυμον, ὡς τῇ προνοίᾳ προτετύπωτο.

D

Ἐθέλχθης ποθεινοτάτῳ ἔρωτι τῷ τοῦ Δεσπότου σου καταφρονῆσαι πόθου κοσμικοῦ· συγκραθεὶς δὲ τῇ

Ad vesperas versiculus. Tonus obliquus 4.

O novum miraculum!

Divino sensu prædite Pater Theophanes, a Christi nomen sortitus apparitione, ejus vivifica pressisti vestigia, ac sæculi reliquisti oblectamenta, in desideratam tibi pulchritudinem animo intendens, o vir optime, divinaque in eam propensione deitatem præclare ac perfectissime induens.

Similis.

Divino sensu prædite Pater Theophanes, molesta exsilia cum imbecillo esses corpore fortiter sustinuisti, oblitus corpori parcere ob venerandas imagines, vir clarissime; exsilio relegatus, velut qui

C

leoninæ feritatis viro insultares, consilia fatua ostendisti, vereque stultas cogitationes ac mentem nequissimam.

Similis.

Vere laborum quos posuisti præmia bonorum tibi dator uberrime donavit, vim præbens fugandi dæmones, morbosque curandi, o ter beate. Accessit et gaudium nullis verbis explicabile, ubi angelorum agmina choros ducunt, ipseque semper omnipotentis vultum contemplaris.

Canon in S. laudem, cujus acrostichis : Theophanes Theophanem modulis canit.

Ode I, tonus 4. *Maris rubrum pelagus.*

Dei qui in carne apparuit vestigia secutus es, Pater pietatis luce illustris; ut inde congruam vere nominis appellationem feliciter consecutus sis, pro eo ac providentia præfinitum erat.

Dulcissimo Domini tui amore delinitus es, ut sæculi amorem contemneres : porro autem gratia

VARIÆ LECTIONES.

[87] ἐς ἀεὶ] καὶ Par. [88] for. τῷ Μαρτίῳ μηνί.

imbutus, mundi dulcia nihili fecisti, perquam beatissime.

Ferali modo irruens Leo tyrannus electos persecutus est, non ferens videre Christi imaginem venerationem habere: cum quibus te quoque, o Theophanes, damnavit exsilio.

Ode 3, tractus. *Non in sapientia.*

Divina plenus luce, Theophanes, apparuisti, charitatis vi desiderato cohærens, o beate: eam ob rem gloriosam tuam memoriam veneramur.

Impia Leonis dogmata tibi interdicens pie admodum confirmasti Ecclesiæ leges: quamobrem te Christus clarum miraculis effecit.

Roboratus, vir sancte, animus spei, atque fidei firmitate, carnis imbecillitatem roborat; utique conservum corpus Deo concilians.

Sessio, tonus 3. *Divina fide.*

Divina præditus æmulatione, impium dogma detestatus es, multisque ac variis periculis es defunctus, injuste deportatus exsilio, pieque, o beatissime, consummatus. Pater Theophanes, Christo Deo supplica, ut magna nos misericordia donet.

Ode 4. *Sublimem elatum videns te Ecclesia.*

Cœlorum tibi regnum, vir sancte, paratum est tanquam athletæ: terreno enim tabernaculo gaudens translatus es clamans Domino: Gloria potentiæ tuæ, Domine.

Triumphator Theophanes effectus es. Venerandam quippe Christi effigiem non abnuisti colere, Deo afflate, vir beate: idcirco etiam clamabas: Gloria potentiæ tuæ, Domine.

Exsilio ejectus vir sanctus impii tyranni decreto, imbecillæ carnis nullam prorsus rationem habuit, clamans Auctori: Gloria potentiæ tuæ, Domine.

Magnificis effulsisti miraculis, vir Deo plene: Deus namque vicem reddidit sustinentiæ; quamobrem etiam velut e fonte sanationum remedia egentibus fundis, vir sacratissime.

Ode 5. *Tu, Domine, meum lumen.*

Piissima doctrina orthodoxæ fidei doctrinam prædicavit sanctus Theophanes, Spiritus luce illustratus.

Uberes divitias divino sensu egenis distribuisti, Domini præcepto obsecutus, vir clarissime.

Qui ad Auctoris imaginem animo conditus esses, intemeratam Domini venerabaris imaginem, desiderio exosculans.

Ode 6. *Sacrificabo tibi cum voce laudis, Domine.*

Dirige ad virtutem vitam meam, vir sancte, religiosæ institutionis semitam tuis, Pater, precibus complanans; quam roga, vir beate, ut recto tramite concite ac contente percurram.

Sobrie casteque vitam peregisti, vir sancte: quippe cum prudentia, fortitudine, ac justitia præditus fuisti, virtutumque choro ornatus eluxisti.

A χάριτι βιοτικὴν τερπνότητα οὐδὲν ἡγήσω, παμμακάριστε.

Ὁρμήσας θηριωδῶς ἐδίωξε Λέων ὁ τύραννος τοὺς ἐκλεκτοὺς, μὴ φέρων ὁρᾷν τιμωμένην εἰκόνα Χριστοῦ. Μεθ' ὧν καὶ σὲ, Θεόφανες, ὑπερορίᾳ κατεδίκασεν.

Ὠδ. γ'. Ὁ εἱρμός. *Οὐκ ἐν σοφίᾳ.*

Φωτὸς τοῦ θείου πεπλησμένος ὤφθης, Θεόφανες, δι' ἀγάπης συγκραθεὶς τῷ ποθουμένῳ, μακάριε· διὸ σοῦ τὴν ἔνδοξον μνήμην γεραίρομεν.

Ἀπαγορεύσας τὰ δυσσεβῆ τοῦ Λέοντος δόγματα, τοὺς θεσμοὺς πανευσεβῶς τῆς Ἐκκλησίας ἐκράτυνας· διὸ σὲ θαύμασι Χριστὸς ἐδόξασε.

Νενευρωμένη τῆς ἐλπίδος καὶ πίστεως, ὅσιε, τῆς σαρκὸς τὸ ἀσθενὲς ψυχὴ στεῤῥότητι ῥώννυσι, Θεῷ
B οἰκειώσασα σῶμα ὁμόδουλον.

Κάθισμα. Ἦχ. γ'. *Θείας πίστεως.*

Ζῆλον ἔνθεον προσκεκτημένος, δόγμα ἄθεον ἀπεβδελύξω, καὶ κινδύνοις πολυτρόποις ὡμίλησας, ὑπερορίαις ἀδίκως στελλόμενος καὶ εὐσεβῶς, παμμάκαρ, τελειούμενος. Πάτερ Θεόφανες, Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠδ. δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία.*

Ἡ οὐράνιος ἡτοίμασται βασιλεία ὡς ἀθλητῇ σοι, ἔνδοξε· τῆς γὰρ ἐπιγείου χαίρων μετετέθης σκηνῆς, βοῶν τῷ Δεσπότῃ· Δόξα τῇ δυνάμει σου, Κύριε.

Στεφανηφόρος, Θεόφανες, ἀνεδείχθης. Τὸ γὰρ σεπτὸν εἰκόνισμα Χριστοῦ, θεοφόρε μάκαρ, οὐκ ἠρνήσω τι-
C μᾷν· διὸ καὶ ἔκραζες· Δόξα τῇ δυνάμει σου, Κύριε.

Μεθιστάμενος προστάγματι τοῦ τυράννου τοῦ δυσσεβοῦς ὁ ὅσιος, σαρκὸς ἀσθενείας ὅλως οὐκ ἐφρόντισε, κραυγάζων τῷ Κτίσαντι· Δόξα τῇ δυνάμει σου, Κύριε.

Ἐμεγαλύνθης τοῖς θαύμασι, θεοφόρε· ὁ γὰρ Θεὸς ἠμείψατό σε τῆς καρτερίας· ὅθεν καὶ ἰάματα πηγάζεις τοῖς χρῄζουσιν ὥσπερ ἐκ πηγῆς, ἱερώτατε.

Ὠδ. ε'. *Σὺ, Κύριέ μου, φῶς.*

Λόγῳ πανευσεβεῖ ὀρθοδόξως ἐκήρυξεν ὁ ὅσιος Θεοφάνης τὸ τῆς πίστεως δόγμα, τῷ Πνεύματι λαμπόμενος.

Πλοῦτον παντοδαπῆ θεοφρόνως διένειμας προσ-
D τάγματι τοῦ Δεσπότου τοῖς πενίᾳ συζῶσιν ἑπόμενος, πανεύφημε.

Ἔχων τὴν ψυχὴν κατ' εἰκόνα τοῦ Κτίσαντος, τὴν ἄχραντον τοῦ Δεσπότου προσεκύνεις εἰκόνα, τῷ πόθῳ ἀσπαζόμενος.

Ὠδ. ς'. *Θύσω σοι μετὰ φωνῆς αἰνέσεως, Κύριε.*

Ἴθυνον πρὸς ἀρετὴν τὸν βίον μου, ὅσιε· τὴν τῆς ἀσκήσεως τρίβον ταῖς εὐχαῖς σου, Πάτερ, ἐξομαλίσας, ἣν συντόνως εὐθυπορεῖν με, μάκαρ, ἀξίωσον.

Σωφρόνως σου τὴν ζωὴν διήνυσας, ὅσιε· μετὰ φρονήσεως γὰρ ἔσχες, σὺν ἀνδρείᾳ γὰρ τὴν δικαιοσύνην, καὶ τῷ κύκλῳ τῶν ἀρετῶν ἐφάνης κοσμούμενος.

Εὐκλείας μαρτυρικῆς ἐπέβης, Θεόφανες, τῆς Θεομήτορος κόρης καὶ μαρτύρων, Πάτερ, τοὺς χαρακτῆρας ὡς τιμήσας, καὶ τοῖς διώκταις ἀντιταττόμενος.

Κοντάκιον. Ἦχος β'. *Τὰ ἄνω ζητῶν.*

Ἐξ ὕψους λαβὼν τὴν θείαν ἀποκάλυψιν ἐξῆλθες σπουδῇ ἐκ μέσων τῶν θορύβων, καὶ μονάσας, ὅσιε, εἴληφας ἐνεργείας καὶ προφητείας ἀξίωμα, συμβίου καὶ πλούτου στερούμενος.

Ὁ οἶκος.

Ἐπὶ τῆς γῆς μηδὲν προθυμήσας, ἠκολούθησας χαίρων τῷ καλοῦντί σε Χριστῷ, καὶ τὸν ζυγὸν αὐτοῦ ἔλαβες ἐπὶ τῶν ὤμων τῶν σῶν προθύμως, καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου. Ἥνπερ κἀμοὶ τῷ πτωχῷ καὶ ῥαθύμῳ κατάπεμψον, τῷ λέγοντι, καὶ μηδ' ὅλως ἐκποιοῦντι, ἀλλ' ἔτι σχολάζοντι ἐν τοῖς τοῦ βίου πράγμασι, καὶ θαυμάζοντι πῶς πάντα ἔφυγες, συμβίου καὶ πλούτου στερούμενος.

Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ, τοῦ τῆς Σιγγριανῆς, τοῦ ἐν τῷ μεγάλῳ Ἀγρῷ κειμένου.

Οὗτος πατρὸς μὲν ἔφυ Ἰσαὰκ, μητρὸς δὲ Θεοδότης. Τοῦ δὲ πατρὸς τελευτήσαντος ἐν τῇ ὑπ' αὐτοῦ διεπομένῃ τῶν Αἰγαιοπελαγητῶν ἀρχῇ, ἣν παρὰ τῇ μητρὶ ἀναγόμενος καὶ τρεφόμενος. Γενομένου δὲ αὐτοῦ ιβ' ἔτους, ἁρμόζεται γυναικὶ, καὶ ταύτῃ συνδιάγων ἦν χρόνους η'. Πλοῦτος δὲ ἦν ἀμφοτέροις πολύς. Συμβούλῳ δέ τινι χρησάμενος ἰδίῳ οἰκέτῃ, πόθον ἔσχε πολὺν τὸν τῶν μοναστῶν ὑπελθεῖν βίον. Τῆς δὲ μητρὸς τὸν βίον ἀπολιπούσης καὶ πλοῦτον ἄπειρον αὐτῷ καταλελοιπυίας, ὁ κηδεστὴς αὐτοῦ πληρῶσαι τὰ τῷ γάμῳ νενομισμένα τοῦτον ἐξεβιάζετο. Καὶ δὴ τῆς κυρίας ἡμέρας καταλαβούσης, καὶ παστὰς ἐπήγνυτο, καὶ ὑμέναιος ᾔδετο, καὶ τὰ λοιπὰ ἐτελεῖτο. Ἐπεὶ δὲ ὁ καιρὸς αὐτὸν τὸν μακάριον καὶ τὴν σύνευνον καταμόνας γενέσθαι ἐκάλει, τὰ τῶν λογισμῶν αὐτοῦ κρύφια ἐφανέρου τῇ νεάνιδι, ἥτις καὶ συγκατέθετο· καὶ εἴ τι δ' ἂν καὶ βούληται αὐτὸς πράττειν, καὶ αὐτὴ τοῦτο μετὰ προθυμίας διεβεβαιοῦτο ποιεῖν. Ὅπερ ἀκούσας, ηὐχαρίστησε τῷ Θεῷ. Ἔκτοτε οὖν ἐποίουν ἀμφότεροι τὰς ἡμερινὰς καὶ νυκτερινὰς εὐχάς. Ταῦτα μαθὼν Λέων ὁ δυσσεβὴς βασιλεὺς καὶ ὁ τούτου κηδεστὴς, διεκώλυε τοὺς νέους τοῦ σκοποῦ. Ἐξαπέστειλε δὲ αὐτὸν ὁ βασιλεὺς πρὸς τὸ τῆς Κυζίκου κάστρον συγχειρήσοντα· ἤδη γὰρ τότε ἐκτίζετο· καὶ ἀπελθὼν ὁ τίμιος παῖς ἐξ ἰδίων ἀναλωμάτων τὴν τοῦ κρατοῦντος δουλείαν πεποίηκε. Τῷ δὲ εἰκοστῷ πρώτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, ὅ τε θηριώνυμος [89] βασιλεὺς καὶ ὁ πενθερὸς αὐτοῦ καταστρέφουσι τὸν βίον· καὶ λοιπὸν ἐν ἐλευθερίᾳ οὐ μόνον ὁ νέος, ἀλλὰ καὶ ἡ οἰκουμένη γίνεται, Εἰρήνης τὰ σκῆπτρα διαδεξαμένης. Ἐπεὶ δὲ κατὰ νοῦν πάντα αὐτῷ γέγονε, τοῖς ἐνδεέσι καὶ πτωχοῖς τὴν οὐσίαν αὐτοῦ διεσκόρπισε, καὶ τοὺς οἰκείους ἐλευθερίᾳ τετίμηκε· τῇ δὲ τιμίᾳ αὐτοῦ συζύγῳ χρήματα πολλὰ παρασχόμενος, ἐν τῇ τοῦ Πρίγκιπος μονῇ ἀπέκειρεν, Εἰρήνην αὐτὴν ἀντὶ Μεγαλοῦς ὀνομάσας. Αὐτὸς δὲ τῷ Κυρίῳ ἑαυτὸν

A Martyris claritatem, Theophanes, adeptus es, velut qui Dei parentis puellæ, martyrumque imagines, o Pater, veneratus sis, ac persecutoribus resisteres.

Contacium. Tonus 2. *Superna quærens.*

Divina e celso revelatione accepta, e mediis turbis festinus excessisti, monachique amplexus institutum, vir sancte, operationis ac prophetiæ munus accepisti, uxore carens atque divitiis.

Domus.

Cum in terra nihil cuperes, vocantem Christum gaudens secutus es, ejusque jugum in humeros tuos alacri animo sustulisti, ac requiem animæ tuæ invenisti. Hanc mihi quoque pauperi segnique mitte, qui dicam, nec prorsus efficiam, sed vacem adhuc B sæculi curis; mirerque, ut cuncta effugeris, conjuge carens atque divitiis.

Memoria sancti Patris nostri Theophanis confessoris Singrianæ monachi, qui in magno Agro quiescit.

Hic Isaacio patre natus est, matre autem Theodota, patre mortuo, dum Ægeopelagitarum præfecturam gerit, sub matris cura instituitur ac educatur. Annorum factus duodecim, feminæ desponsæ junctus, cum ea annis octo vitam socialem agit. Erant ambo opibus locupletissimi. Porro famuli cujusdam domestici consiliis inductus, ingenti desiderio tenebatur amplectendi status monastici. Matre vivis exempta, immensisque filio relictis di- C vitiis, cogebat socer ut nuptiarum legitima impleret, uxoremque filiam duceret. Ac vero cum constituta dies advenisset, ponitur thalamus, hymenæus occinitur, reliquaque nuptiarum solemnia peraguntur. Urgebat tempus, jamque vir beatus cum conjuge thalami secreta erat petiturus. Tum illo animi arcanum detegente, puella lubens assentitur, certoque affirmat, si quid ille velit, se quoque prompte facturam. His juvenis auditis, Deo gratias agit: exindeque ambo diu noctuque precibus assidui erant. Re cognita, Leo impius imperator, ac viri socer, a proposito adolescentes prohibuerunt. Misit namque imperator Cyzicum, eam in urbem suam operam collaturum: jam enim tum exstruebatur. D Abiens vero præclarus juvenis, suis ipse sumptibus, quod imperatoris jussu urbi præstandum erat, effecit. Ætatis porro illius anno vicesimo primo, cum Leo imperator, tum viri socer vitam commutant, deincepsque nedum juvenis, sed et orbis ipse liber agit, Irene Augusta sceptra postmodum moderante. Cum itaque ex voto cuncta successissent, egenis ac pauperibus substantiam distribuit, servosque libertate donavit. Nobilissimæ autem conjugi elargitus multas pecunias, in Principis ita dicto monasterio detondit, Megalus nomine in Irenem illi commutato. Is vero se Domino munus consecrat in monasterio, quod in Singrianorum

VARIÆ LECTIONES.

[89] Θηριώνυμος. Par.

monte situm Polychronii nuncupationem habet. Factus monachus, præesse nullo modo sustinuit, sed in cellula sedens, manuum labore victum parabat, scribendis codicibus sese impendens annos sex continuos in insula dicta Calonymus, in eo monasterio quod exstruxerat: iterumque revertitur ad Singrianæ montem. Ætatis autem anno quinquagesimo ægritudini corpusculum traditur, nempe vesica petrescente, ac renum molesto illi dolore. Ex illo deinceps morbo afflicta valetudine, totam vitam lecto decumbens egit, nec sibi motum imperare valens. Postea Leo Armenius imperii sceptra capessit: verum quid illi acciderit, nemo nescit. Hactenus vero homo demens scelestusque ad Dei virum mittit, jubetque veniat, ac sibi comprecetur, quod adversus hostes expeditionem suscepturus sit. Ille quod ægro corpore sese movere non posset, e plaustro in scapham transfertur inque urbem regiam vehitur: nec tamen tyranno in conspectum venire concessum; sed ministro ad eum misso, Si, inquit, hortanti mihi annueris, cum tibi, tum monasterio tuo bene faciam; sin autem, opprobro publico e furca laqueo suspendam, ac reliquis in terrorem exponam. Tum confessor, Noli, inquit, tuorum munerum thesauros effundere: patibuli vero lignum, sive etiam ignem expedi hodie: id enim qua dilectione in Christum feror, desiderio cupio. His auditis, impudens tyrannus Joanni ariolo tradidit, homini eruditi nomen ambienti, quique Iconomachorum odio in fideles plenus esset, fore ratus ut is obliquitate in adversum viri constantiam flecteret. Assumptus ille in Hormidæ Sergii ac Bacchi monasterio quod palatio adjacet, ac disputatione cum ariolo congressus, eoque victo, ac eximiæ sapientiæ vi perculso, præclareque constantia prodita, vir sanctus confusum eum ad insanum tyrannum ablegat; miserque rustici magis, quam oratoris sibi nomen ascivit. Ascendens itaque ad imperatorem, Facilius, inquit, ferrum cera emollias, quam viri animum in id, quod tibi collibitum est, transferas. His auditis, tyrannus ad Eleutherii eum palatia traducit, inque tenebricosa quadam ædicula concludit, datis etiam custodibus, ut ne quis etiam affecto corpori ministerium impenderet. In hunc modum exacto biennio, afflictus, ac angustia confectus, vel sic tyranno pudorem incussit. Cumque quotidie vis adhiberetur, ut illius consiliis animum accommodaret, nec is quidquam se mentis firmitate remitteret, exsilio relegatur in Samothracen insulam. Eam in exsilium abductionem brevi secuta eductio e corpore. Post enim dies tres supra viginti, consummato ea in insula vitæ curriculo, illic requievit, sancte ac pacate ad Dominum commigrans. Quid autem refert dicere quanta locum benedictione impleverit, ac quanta prædium sanationum munera per illum consecutum sit?

A προσφέρων ἱερουργεῖ ἐν τῇ ἐν τῷ τῶν Σιγγριανικῶν ὄρει κειμένῃ μονῇ, Πολυχρονίᾳ λεγομένῃ. Μοναχοῦ δὲ αὐτοῦ γενομένου, οὐδ' ὅλως τὸ ἄρχειν κατεδέξατο· ἀλλ' ἐν τῇ κέλλῃ καθεζόμενος, ἐξ οἰκείων χειρῶν τὴν τροφὴν ἐπορίζετο, καλλιγραφῶν ἑξαετῆ χρόνον διηνεκῶς ἐν τῇ καλουμένῃ νήσῳ τῆς Καλωνύμου, ἐν ᾗ συνεστήσατο αὐτὸς μονῇ· καὶ πάλιν ἔρχεται ἐν τῷ τῆς Σιγγριανῆς ὄρει. Τῷ δὲ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ, ἀσθενείᾳ τινὶ παραδίδοται, ἥτις ἦν λιθίασις κύστεως καὶ νεφριτικῆς ἀκολουθίας σύμπτωμα. Ἐκ τούτου λοιπὸν τοῦ χαλεποῦ νοσήματος ἔμεινε διὰ παντὸς τοῦ βίου κλινήρης καὶ ἀκίνητος. Μετὰ ταῦτα ἐδέξατο τὰ σκῆπτρα τῆς βασιλείας Λέων ὁ Ἀρμένιος. Ἀλλ' οἷα τούτῳ συμβέβηκεν, οὐδεὶς ἀγνοεῖ. Τέως δὲ ὁ ἀνόητος καὶ ἀνόσιος πέμπει πρὸς
B τὸν τοῦ Θεοῦ ἄνθρωπον, Ἐλθὲ, λέγων, εὖξαι ὑπὲρ ἡμῶν, ὅτι κατὰ βαρβάρων ἀπέρχομαι. Αὐτὸς δὲ διὰ τὸ ἀκίνητος εἶναι, ἐκ τῆς ἁμάξης μετετέθη εἰς πλοῖον, καὶ ἤχθη πρὸς τὴν βασιλεύουσαν· καὶ τῆς μὲν δυσειδοῦς ὄψεως τοῦ τυράννου οὐκ ἔτυχε· πλὴν μηνύσει ἐχρήσατο πρὸς αὐτὸν, Εἰ κατανεύσεις, λέγων, τῇ παρακλήσει μου, καὶ σοὶ καὶ τῇ μονῇ σου ἀγαθὰ παρέξω· εἰ δὲ μή γε, ξύλῳ ἀγχόνης [90] σε παραδειγματίσω, καὶ τῶν λοιπῶν εἰς φόβον σε προθήσω· ὁ δὲ ὁμολογητὴς, Τῶν δωρεῶν σου, ἔφη, μὴ κενώσῃς τοὺς θησαυρούς· τὸ δὲ ἀγχόνης ξύλον, ἢ καὶ τὸ πῦρ εὐτρέπισον σήμερον· τοῦτο γὰρ ἐφίεμαι διὰ τὴν τοῦ [91] Χριστοῦ μου ἀγάπην. Ταῦτα ὁ ἀναιδὴς ἀκούσας, παρέδωκεν αὐτὸν Ἰωάννῃ τῷ μάντει περὶ λόγους
C αὐχοῦντι καὶ τὸ μῖσος τῶν Εἰκονομάχων ἐμπεπλησμένῳ, στρεβλότητι ἀντεπεκκλῖναι αὐτὸν ἡγούμενος. Ὃς παραληφθεὶς ἐν τῇ Ὁρμίδι μονῇ Σεργίου καὶ Βάκχου τῇ παρακειμένῃ τῷ παλατίῳ, καὶ πρὸς λόγων ἅμιλλαν τῷ μάντει συνελθὼν, καὶ τοῦτον ἡττήσας, καὶ τῷ περιόντι τῆς σοφίας καταβροντήσας, καὶ τὸ ἀμετάθετον ἐνδειξάμενος, τοῦτον ᾐσχυμμένον εἰς τὸν μανιώδη τύραννον ἀπέπεμψεν. Ἀγροίκου μᾶλλον ἢ ῥήτορος δόξαν ὁ δείλαιος ἀπηνέγκατο. Ὃς ἀνελθὼν πρὸς αὐτὸν, Κρεῖσσον, ἔφη, βασιλεῦ, κηρῷ μαλάξαι σίδηρον, ἢ πεῖσαι τὸν ἄνδρα μεταθεῖναι πρὸς τὸ σοὶ ἐφετόν. Τούτων ἐπακούσας ὁ τύραννος, μετάγει τοῦτον εἰς τὰ Ἐλευθερίου ἀνάκτορα, καὶ κατακλείει αὐτὸν ἔν τινι οἰκήματι σκοτεινοτάτῳ, καταστήσας καὶ φρουροὺς, ὡς μηδὲ διακονεῖσθαι αὐ-
D τὸν παρά τινος. Οὕτω διετῆ χρόνον τελέσας θλίψεσι καὶ στενοχωρίαις πιεζόμενος, κατῄσχυνε κἂν τούτῳ τὸν τύραννον. Ἐπεὶ δὲ καθ' ἑκάστην ὑποκύψαι τῇ αὐτοῦ βουλῇ ἠναγκάζετο, μὴ εἴξας, ἐξορίζεται ἐν τῇ τῆς Σαμοθράκης νήσῳ. Ἡ δὲ πρὸς τὴν ὑπερορίαν ἀπαγωγὴ ταχεῖαν ἔσχε τὴν ἀπὸ τοῦ σώματος ἐξαγωγήν. Ἡμέραις γὰρ τρισὶ πρὸς ταῖς εἴκοσι τὴν ἐν τῇ νήσῳ ζωὴν διανύσας ἐκεῖ κατεπαύσατο, ἀπελθὼν ἐν Κυρίῳ ὁσίως καὶ εἰρηνικῶς. Τί δὲ χρὴ λέγειν ὁπόσης μὲν εὐλογίας τὸν τόπον ἐνέπλησεν, καὶ ὁπόσων δὲ ἰατρείων ὁ χῶρος ἐκεῖνος ηὐπόρησεν;

VARIÆ LECTIONES.

[90] ἀγχόνη Par. [91] τὴν διὰ τοῦ Par.

A

ᾨδ. ζ'. *Ἐν τῇ καμίνῳ.*

Τὸ κατ' εἰκόνα σὺ κεκτημένος, καὶ ὁμοίωσιν [11] βίῳ λαμπροτάτῳ, Πάτερ, προειληφώς, δι' ἀμφοτέρων ὑπερέλαμψας, Εὐλογημένος εἶ ἐν τῷ ναῷ, βοῶν, τῆς δόξης σου, Κύριε.

Ὁμολογίας σου στεφάνῳ, Πάτερ, διέπρεψας, ἔργῳ διήλεγξας λόγους τῶν δυσσεβῶν, τοὺς πιστοὺς δὲ ἐβεβαίωσας, Εὐλογημένος εἶ ἐν τῷ ναῷ, βοῶν, τῆς δόξης σου, Κύριε.

Τῷ στεῤῥοτάτῳ ἐν προθυμίᾳ τὰς τοῦ σώματος, Πάτερ, ἀλγηδόνας ἤνεγκας καρτερῶς, εὐχαριστῶν τῷ Δεσπότῃ σου, Εὐλογημένος εἶ ἐν τῷ ναῷ, βοῶν, τῆς δόξης σου, Κύριε.

ᾨδ. η'. *Χεῖρας ἐκπετάσας Δανιήλ.*

B Θεώμενος, μάκαρ, τὸ στεῤῥὸν τῆς σῆς ἐνστάσεως Λέων ὁ τύραννος, ὑπερορίᾳ σε ἔκρινε πικροτάτῃ ὁ παμπόνηρος· ἐν εὐφροσύνῃ δὲ βοῶν ταύτην ὑπήνεγκας· Εὐλογεῖτε, πάντα τὰ ἔργα τοῦ Κυρίου, τὸν Κύριον.

Ἐπὶ τὸ πρωτότυπον εἰδὼς τὴν τῆς εἰκόνος τιμὴν διαβιβάζεσθαι, ἐπὶ τὸ στάδιον ἔδραμες ἀθλητὴς ὡς ἐννομώτατος· καὶ νικητὴς ἀναδειχθεὶς στέφανον εἴληφας ἀναμέλπων· Πάντα τὰ ἔργα, ἀνυμνεῖτε τὸν Κύριον.

Οὐράνιον ἀντὶ τῆς ἐν γῇ σκηνήν σοι δέδωκε πάντων Κύριος· ἀντὶ στενώσεως εὗρες δὲ πλατυσμὸν ἀγαλλιάσεως, ἐν παραδείσῳ τρυφῆς μετὰ μαρτύρων βοῶν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

C Φωτὶ ἐλάμφθης νοητῷ καὶ θείῳ Πνεύματι, μάκαρ Θεόφανες· ὅθεν ἰάματα βρύεις [γὰρ] τοῖς ἐν πίστει σοι προστρέχουσι, καὶ τὴν ἁγίαν σου σορὸν πόθῳ γεραίρουσι καὶ βοῶσι· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

ᾨδ. θ'. *Λίθος ἀχειρότμητος.*

Ἅπαντα τὸν βίον σκορπίσας τοῖς δεομένοις, θεοφόρε, τὴν δικαιοσύνην σοφῶς ἀντεκομίζου σοι ἀνατέλλουσαν, ἀντὶ φθαρτῶν δρεπόμενος τὰ δι' αἰῶνος ἀνατέλλοντα.

Νόσους θεραπεύεις, παμμάκαρ, τοῦ Παρακλήτου τῇ δυνάμει· δαίμονας σαφῶς ἀπελαύνεις τῇ ἐνεργείᾳ τούτου, πανόλβιε· διὸ πιστοὶ θεώμενοί σε, θεοφόρε, μακαρίζομεν.

D Ἡ σὴ φωτοφόρος, θεόφρον, τῆς μεταστάσεως ἡμέρα πάντας προσκαλεῖται τοὺς πιστοὺς πρὸς μετουσίαν τοῦ ἁγιάσματος· ἥνπερ καὶ νῦν γηθόμενοι ἐπιτελοῦμεν, ἱερώτατε.

Νέμοις τὴν σὴν ἄφθονον χάριν τῷ τῶν ἐπαίνων σου τοὺς λόγους πλέξαντι, θεόφρον, προθύμως· ὁμότροπόν σοι ὥσπερ ὁμώνυμον τοῦτον δεικνὺς πρεσβείαις ταῖς εὐπροσδέκτοις, ἱερώτατε.

Ode 7. *In camino.*

Ut ad imaginem esses adeptus, vitaque clarissima similitudinem, Pater, consecutus, utroque eximie fulsisti; clamans: Benedictus es, Domine, in templo gloriæ tuæ.

Confessionis tuæ, Pater, corona claruisti; opere factisque impiorum verba confutasti, fideles vero confirmasti, clamans: Benedictus es, Domine, in templo gloriæ tuæ.

Firmissimo alacrique animi proposito corporis dolores, Pater, fortiter pertulisti, Deo gratias agens; clamans: Benedictus es, Domine, in templo gloriæ tuæ.

Ode 8. *Manibus expansis Daniel.*

Videns, vir beate, Leo tyrannus firmo te proposito illi obniti, gravissimo nequissimus damnavit exsilio: tu vero lætus pertulisti, clamans: Benedicite, omnia opera Domini, Dominum.

Cum intelligeres honorem imaginis ad exemplar transire, ad stadium ut quam legitimus athleta cucurristi, victorque acclamatus coronam accepisti, dulcius concinens: Omnia opera, laudate Dominum.

Cœleste tibi pro eo quod in terra est tabernaculum universorum Dominus contulit: arctæque custodiæ loco latitudinem exsultationis in paradiso voluptatis cum martyribus invenisti, clamans: Benedicite, omnia opera Domini, Dominum.

Spiritali luce illustratus es, ac divino Spiritu perfusus, vir beate Theophanes: indeque sanitates scaturis fidelibus ad te confugientibus, tuumque sanctum loculum amore venerantibus, ac clamantibus: Omnia opera, laudate Dominum.

Ode 9. *Lapis sine manu præcisus.*

Omni substantia tua in egenos distributa, vir divino sensu prædite, justitiam palam tibi orientem illius præmio retulisti: pro iis quæ sunt corruptibilia, ea decerpens quæ in sæculum virescunt.

Morbos curas, vir beatissime, Paracleti potentia, dæmonesque palam illius vi abigis, vir felicissime: idcirco nos fideles te contuentes beatum prædicamus.

Lucida, divino sensu prædite, tuæ migrationis dies fideles omnes invitat, ut sanctificatione participentur: quam et nunc gaudentes peragimus, vir sacratissime.

Tribuas, quæso, uberem tuam gratiam illi, qui tuarum laudum carmen alacri animo texuit: iisdemque tecum moribus, uti et eodem censetur nomine, Deo gratis precibus tuis facito, vir sacratissime.

VARIÆ LECTIONES.

[11] ὁμοίωσι Par.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ[1]

ΘΕΟΦΑΝΟΥΣ

ΗΓΟΥΜΕΝΟΥ[2] ΤΟΥ ΑΓΡΟΥ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΧΡΟΝΟΓΡΑΦΙΑ (1)

ΕΤΩΝ ΦΚΗ'

ΑΡΧΟΜΕΝΗ ΑΠΟ ΠΡΩΤΟΥ ΕΤΟΥΣ ΔΙΟΚΛΗΤΙΑΝΟΥ (2) ΕΩΣ ΔΕΥΤΕΡΟΥ ΕΤΟΥΣ ΜΙΧΑΗΛ (3), ΚΑΙ ΘΕΟΦΥΛΑΚΤΟΥ[3] ΥΙΟΥ ΑΥΤΟΥ ΤΟΥΤ' ΕΣΤΙΝ ΑΠΟ[4] ,ΕΨΟΖ' ΕΤΟΥΣ ΤΟΥ ΚΟΣΜΟΥ (4) ΕΩΣ[5] ΕΤΟΥΣ ϚΤΕ' ΚΑΤΑ ΤΟΥΣ ΑΛΕΞΑΝΔΡΕΙΣ (5) ΚΑΤΑ ΔΕ ΡΩΜΑΙΟΥΣ ΖΤΚΑ'[6].

—

S. P. N. THEOPHANIS

ABBATIS AGRI ATQUE CONFESSORIS

CHRONOGRAPHIA

ANNORUM DXXVIII,

AB ANNO DIOCLETIANI PRIMO AD MICHAELIS ET THEOPHYLACTI EJUS F. ANNUM SECUNDUM; ID EST, AB ANNO MUNDI 5777 AD ANNUM SECUNDUM ALEXANDRINOS 6305, SECUNDUM ROMANOS VERO 6321

—

PROŒMIUM CHRONOGRAPHIÆ.

1-2 Sanctissimi Cpoleos patriarchæ Tarasii Georgius abbas quondam Syncellus, vir eximius et

A

ΠΡΟΟΙΜΙΟΝ ΤΗΣ ΧΡΟΝΟΓΡΑΦΙΑΣ[7].

Ὁ μὲν μακαριώτατος[8] ἀββᾶς Γεώργιος, ὁ καὶ Σύγκελλος γεγονὼς Ταρασίου τοῦ ἁγιωτάτου πα-

VARIÆ LECTIONES.

Varias lectiones, quas in calce operis congesserat Jac. Goar. textui subjicimus. a *est codex Francisci Barberini*; b *Vaticanus n.* 154; c *Vaticanus* 155; d *Vaticanus* 979; e *Palatinus*; f *Peyrezianus. Adhibuimus præterea collationem codicis Coisliniani* 133. *A, anno* 1827 *a Constantino Schina et Mauritio Pindero ad usum editorum Bonnensium institutam.*

[1] τοῦ ἐν ἁγ. πατρ. ἡμ. om. A, in quo legitur: Θεοφάνους ἁμαρτωλοῦ μοναχοῦ ἡγουμένου τοῦ Ἀγροῦ καὶ ὁμολογητοῦ χρον. κ. τ. λ. [2] καὶ ἡγουμένου a b c, ἁγίου ἡγ. d. [3] Θεοφίλου a g. τοῦ υἱοῦ (om. αὐτοῦ) a e. [4] τοῦτ' ἔστιν ἀπὸ om. a e. [5] ἕως ,ϛτε' ἔτους b, ἕως τοῦ κόσμου ἔτους ,ϛτε' e. [6] ,ϛτκα' ϛτκ' A. [7] Προοίμ. τ. χρον. om. A. [8] μακάριος A, μακάριος τὰ a e. καὶ add. ex A a b c e f g.

JAC. GOARI NOTÆ.

Intermiscentur Franc. Combefisii notæ posteriores

(1) Χρονογραφία, historica narratio cujus personæ, gestaque singula percensita, ad tempus proprium, et annos, adde plerumque menses et dies, κατὰ πλάτος revocantur et reponuntur. Hanc cum vulgo dicta *Miscella* Baronius confundit ad annum C. 719, num. 20, his verbis: *Auctor Theophanes, qui*

τριάρχου Κωνσταντινουπόλεως, ἐλλόγιμος ἀνὴρ καὶ πολυμαθέστατος ὑπάρχων [9], πολλούς [10] τε χρονο-

A eruditissimus, multis chronographorum et historicorum libris evolutis, et non vulgari diligentia exami-

VARIÆ LECTIONES.

[9] ὑπάρχων add. ex omnibus codd. præter g. [10] πολλούς τε O præter g, ἄλλους τε vulg.

JAC. GOARI NOTÆ.

Græce scribit historiam illam, quæ inscribitur Miscella, *et sub titulo Pauli diaconi errore circumfertur*: et ad annum 726 ad Gregorii papæ epistolam nota prima, pag. mihi 79 : *Theophanes* (*Miscellam* intelligit) *qui falso inscribitur Paulus diaconus.* Auctorem *Historiæ miscellæ* titulus ei præpositus agnoscit Landulphum Sagacem, qui eam ex Eutropio, Paulo Aquileiensi diacono, et Anastasii Bibliothecarii narrationibus collegit. Postrema vero pars, quantumvis ex Theophane, pleraque Latine ab Anastasio reddita contineat, *Miscellam* tamen integram, Theophani velut auctori germano, ex litteratorum sensu nusquam ascripserit.

(2) Cujus causam assignat auctoris ipsius prooemium mox subsecuturum.

(3) Cedreni Synopseus historicæ prooemio scribentis, Ὁ ὁμολογητὴς Θεοφάνης ἄχρι τέλους Νικηφόρου τοῦ ἀπὸ Γενικοῦ κατήντησε, *Confessor Theophanes ad Nicephori exgeneralis finem historiam deduxit*, codicem annis duobus, et historiæ calce mutilum fuisse constat : a Diocletiani quippe primordiis ad Michaelis Curopalatis abdicatum imperium annos supra memoratos viginti octo supra quingentos, Theophaneum hoc opus enumerat : Anastasius vero Bibliothecarius, Theophanis pene suppar interpres, et sæculis integris Cedreno superior, iisdem verbis et temporibus, quibus Theophanis hoc exemplar, hoc est, ad depositum a Michaele principatum, una cum *Miscella* cum secuta, susceptam finit historiam. Baronius ad annum C. 813, num. 8 : *Ad diem usque captæ civitatis Adrianopolis Theophanes perducens historiam, eidem finem imposuit : nec est ut dici possit historiam intercisam esse, quod auctor perorationem nullam (ut moris est) apposuerit. Siquidem Anastasius, qui in Latinum eam transtulit, testatur usque ad Leonem, qui successit Michaeli, ipsum eam scriptionem perduxisse. Cur autem reliqua imperii Leonis non sit prosecutus, persecutio ab eo excitata, qua est vexatus ipse Theophanes, in causa fuisse videtur.* Theophanem a finita scriptione, anno quinto obiisse diximus.

(4) Annus a mundi conditu 5777 in Diocletiani primum incurrens a Christi natalitiis 277 ab auctore Theophane numeratur succedente p. 4 statim ad ætatum ibidem descriptarum limen. Iidem vero numeri, tam a mundi videlicet, quam a Christi ortu, ipsi sunt quos Georgii Syncelli Chronographia collegit, quosque illius continuator Theophanes impræsentiarum sequi se tacitus profitetur. Eam temporis et numerorum mensuram nota succedens examinat et illustrat. Interim quæ verborum juxta diversos codices mss. varietas, quis defectus aut excessus fuerit observatus, ne forte discessu a regio exemplari damnetur hic expressus titulus, operæ pretium fecero, si diligenter exponam. Regium post verba jam adducta scribit : Χρονογραφία ἐτῶν φκη', ἀρχομένη ἀπὸ πρώτου ἔτους Διοκλητιανοῦ, ἕως δευτέρου ἔτους Μιχαὴλ καὶ Θεοφίλου υἱοῦ αὐτοῦ, τοῦτ' ἔστιν ἀπὸ ,εψοζ' ἔτους τοῦ κόσμου, ἕως ἔτους ,ςτκα', κατὰ Ῥωμαίους ,ςτκα'. Barberinus, codex recentissima quidem manu exscriptus, at cum Vaticanis tribus et quarto Palatino comparatus, bonique publici gratia ab emin. cardinali, Urbani VIII nepote, Parisios urbane transmissus, æque corrupte legit : Χρονογραφία ἐτῶν ἀρχομένη ἀπὸ πρώτου ἔτους Διοκλητιανοῦ ἕως δευτέρου ἔτους Μιχαὴλ καὶ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ, ,εψοζ' ἔτους τοῦ κόσμου, ἔτους ςτκα' κατὰ τοὺς Ἀλεξανδρεῖς, κατὰ δὲ Ῥωμαίους ,ςτκα'. Ita Vaticanus sub numero 979, nisi quod Θεοφίλου vice, reddit Θεοφυλάκτου. Qui sub 154 : Χρο. ἐτ. φκη' ἀρχ. ἀπὸ πρώτου Μιχ. καὶ Θεοφίλου υἱοῦ αὐτοῦ τοῦτ' ἔστιν ἀπὸ ,εψηζ' ἔτους τοῦ κόσμου, ἕως ,ςτε' ἔτους κα. τοὺς Ἀλ. κατὰ δὲ

B Ῥωμαίους ςτκα'. Sub num. 155 cum Barberino præter unum et alterum nullius momenti verbum convenit. Correctissimus omnium, quem idcirco, Regio deserto, invitus licet sequor et exprimo, Peyrezianus est, dilectæ videlicet ac sacerrimæ litteratissimi viri D. Peyrezii bibliothecæ reliquiæ a clariss. D. Petro Puteano, cujus viventis animum Apollo exornavit, mortui nunc nomen colit Mnemosyne, apud me depositæ : is, inquam, ceu præter omnes emendatissimus, et cum Palatino pariter probato 979 consentiens, ne aliorum nævos operis facies statim exhiberet, qui mentem auctoris fideliter in titulo referret, ipseque cum fide redderetur, dignus est habitus.

(5) Quam diversi penes Græcos ab orbe condito ad vulgarem Christi natalem diem annorum numeri chronologiæ sincerus illustrator Petavius recenset *De doctrina temporum* lib. IX, cap. 2, et cultissimus Allatius ad Eustathii *Hexaemeron* pag. 250

C et seqq. In tres porro summas, quæ omnium spectatissimæ, discrimen quodcunque exstitit, abiisse dignoscitur. Tres itaque Græcorum computos, annorumque æras tres præcipuas eruditi celebrant : trium prior ab orbe condito ad Christum ex Virginis utero natum annos numerat 5493; secunda a mundi ad Christi diem natalem annos 5501 computat; inter utrumque limitem, annos 5508 recenset postrema. Primæ auctor Panodorus, monachus Ægyptius, cujus scripta Georgio Syncello familiaria, ac frequentius memorata; secundæ forsan Africanus, quem Anianus, sanctus Maximus abbas et confessor, Georgius Syncellus, et ejus coætanei, S. Nicephorus patriarcha, necnon Theophanes noster sequuntur in numeris. Inventor tertiæ nondum compertus, licet antiquus; illam quippe velut receptam adhibet Chronicon Alexandrinum, et usitatam refert canon tertius Trullanæ synodi, anno Christi 691 secundo coactæ, quæ, quo celebrabatur,

D annum putabat, post Christi nimirum natalem et mundi 5508 ex adjunctis 691, qui collectus est mundi 6199. Eamdem in officiis ecclesiasticis, Horologio maxime, cyclo paschali construendo manibus versat Ecclesia Orientalis, prout Græcorum jureconsulti secundum illam imperatorum edicta consignant in Basilicis. Primam æram Antiochenam appellant aliqui, apud Petavium ad Auctarium *De doctrina temporum*, lib. VIII, cap. 1; secundam Æthiopicam; tertiam Alexandrinam : quarum appellationum fides stat penes auctores. *Scaliger*, scribit laudatus Petavius, *ad excerpta Maximi primam nominat Lunarem; mediam, Orientalem; postremam, Paschalem*; *vocumque origines disputat lib.* V *De emend. temp.* Meliora, ni fallor, suggero : a Panodoro Ægyptio institutore primam nuncupari Alexandrinam : alteram, quod ei proximior exsistat, ac pene assequatur, Alexandriæ pariter nomen sortitam ; tertiam ; Constantinopolitanam, sive Romanam. Quod CP., quæ nova Roma est, et

natis, compendiariam ab Adamo ad imperatoris et Christianorum persecutoris Diocletiani tempora chronographiam scripsit; discussisque studiose temporum rationibus ad invicem comparavit, emendavit, ac, ut nullus ante ejus ætatem, solertissime composuit: priscorum insuper regum et nationum universarum statu et regimine adnotato, singulorumque, quantum licuit, observatis ætatibus, supremarum et universalium sedium, Romæ, dico, et Cpolis, Alexandriæ, Antiochiæ, et Hierosolymorum, sive qui sanis dogmatibus, ceu pabulis, ecclesiam aluerunt, sive qui per vim et latronum more principatu arrepto, hæresum pravitate gregem infecerunt, pontifices enumeravit, et eorum tempora et annos egregio ordine digessit. Enimvero cum vitæ termino præreptus, ad propositum finem non potuerit consilium suum perducere, sed, ut præmo-

γράφους καὶ ἱστοριογράφους ἀναγνοὺς, καὶ ἀκριβῶς τούτους διεξερευνησάμενος [11], σύντομον χρονογραφίαν ἀπὸ Ἀδὰμ μέχρι Διοκλητιανοῦ τοῦ βασιλέως [12] καὶ διώκτου τῶν Χριστιανῶν ἀκριβῶς συνεγράψατο, τούς τε χρόνους ἐν πολλῇ ἐξετάσει ἀκριβολογησάμενος, καὶ τὰς τούτων διαφωνίας συμβιβάσας, καὶ ἐπιδιορθωσάμενος καὶ συστήσας, ὡς οὐδεὶς ἄλλος τῶν πρὸ αὐτοῦ, τάς τε τῶν ἀρχαίων βασιλέων παντὸς ἔθνους πολιτείας τε καὶ τοὺς χρόνους ἀναγραψάμενος, καὶ κατὰ τὸ ἐφικτὸν αὐτῷ τοὺς ἀρχιερεῖς τῶν μεγάλων καὶ οἰκουμενικῶν θρόνων, Ῥώμης τε, φημὶ, καὶ Κωνσταντινουπόλεως, Ἀλεξανδρείας τε καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων, τούς τε ὀρθοδόξως τὴν Ἐκκλησίαν ποιμάναντας καὶ τοὺς ἐν αἱρέσει ληστρικῶς ἄρξαντας, καὶ τοὺς τούτων χρόνους ἀκριβῶς ἐνέταξεν [13]. Ἐπεὶ δὲ τὸ τέλος τοῦ βίου τοῦτον [14] κατέλαβεν, καὶ εἰς πέρας ἀγαγεῖν τὸν

VARIÆ LECTIONES.

[11] διερευνησάμενος A. [12] βασιλέως Ῥωμαίων a b e. [13] ἀνέταξεν f. [14] τοῦτον om. A.

JAC. GOARI NOTÆ.

Romani quondam imperii caput effulsit, primum inventa, totum Romanum imperium deinde pervagata sit, in eo, ut citatus canon Trullanus confirmat, auctoritatem communiter nacta fuerit, lubens assentior. Sententiam probat Petavius Auctar. lib. VIII, capite 1, pag. 293 D verbis hujusmodi: *Græcorum computorum prior et antiquissimus annum eum qui primus est æræ nostræ, numerat ab Adamo* 5493, *posterior* 5509 *nec plures* (de quo mox sermo) *Græcorum computistæ memorant: qui priorem vocant* κατὰ Ἀλεξανδρέας, *nos Alexandrinum appellemus: posteriorem* κατὰ Ῥωμαίους, *nos Constantinopolitanum a nova Roma nominemus. Ita Theophanes*, quem tamen loquentem haud ibi, sed inferius adducit Petavius, *non uno loco*. Hæc primo capite: mox quinto æram secundam memoraturus, *Alexandrinum*, ait, *computum in paschali sua methodo tenere se Maximus ostendit capite* 32, *cum annum incarnationis ac natalis Christi testatur fuisse* 5501. Theophanes vero noster, qui secundam illam æram Africanum, Maximum, Syncellum imitatus observat, eamdem hic κατὰ Ἀλεξανδρεῖς indigitat, eamdemque rursus sub eadem voce refert explicatius pag. 345 et 346 de Leonis Isaurici morte locuturus. Ἔτος ἦν ἀπὸ μὲν κτίσεως κόσμου κατὰ Ῥωμαίους ,ϛσμη'· κατὰ δὲ Αἰγυπτίους, ἤγουν Ἀλεξανδρεῖς, ,ϛσλβ'. *Erat quidem annus a mundi conditu juxta Romanos* 6248, *secundum Ægyptios vero, Alexandrinos intellige*, 6232. Verumenimvero quod secunda, velut prior, Alexandrina nuncupetur æra Petavius expositurus, illam in hanc refundi, adeoque separatam et distinctam non constituere, duplicemque tantum, non triplicem exsurgere, nominibusque solis duobus numerandam contendit *De doct. temp.* lib. IX et Auctar. citati lib. VIII insignioribus primis capitibus: et indicia quidem ac conjecturas plures in medium profert, causam quæ plane convincat, nullam. Hæc vero legitima ad Syncellum prius observata ex ejus numeris mihi deprehenditur. Præter Panodori Alexandrinorumque æram Syncellus, imo Anianus monachus, etiam Ægyptius, propriam ad annos ulteriores septem vel octo prorogaturus, a prima, quæ natalem Christi anno 5493 consignat, haud multum deflexit, eodem ad 5500 vel 5501 semoto: eam ob rem ut Alexandrinæ nomen a Panodoro, sic pariter Alexandrinæ ab Aniano nomen æra utraque potuit obtinere. Verum ne hac sola conjectura harioler: gravissimi ponderis, neque irritandi roboris translatæ appellationis argumentum est, quod Syncellus, qui æram secundam usurpavit, et ad Christi natalem annos septem vel octo supra Panodorum adjecit, statim numero pares rescidit, et ex impp. ætatibus, necnon patriarch. et satrap. totidem resectis, primam tandem æram ab anno mundi 5493 et alteram a 5501 fluentem concordes inter se et æquali gressu procedere compulit; annos imperatorem ætatibus detractos Syncelli chronologia aliis comparata, me tacente vociferatur: detractorum indicium et exemplum solis ipsius radio describo. Diocletiani tyrannis ad annum a mundi conditu 5777 ex Syncelli computo, et Theophanis pag. 4 reponitur, eademque post Christi æram anno 5500 et 5501 consignatam, annos ex Syncello et Theophane citatis numerat 277, eamdem tamen a Diocletiano tyrannidem arreptam annis 7 vel 8 posteriorem asserit chronologorum vox communis, et ad Dionysianæ æræ 284 et 285 alligat. Annos igitur septem vel octo a Christi natalitiis ad Diocletianum imperantem, in Syncelli, Theophanis et consortium calculis detractos nullus negaverit. Adde jam ad Panodori æram 5493 æræ Christi Dionysianæ annos 284, summam procul dubio colliges 5777; hæc vero est, quam a mundi condita ad Diocletianum Syncellus, Theophanes et alii æram Græcorum secundam amplexati subducunt. Æra igitur secunda · recurrit in primam, nec minus quam prima, Alexandrinæ meretur nomen: et secunda hæc rursus a prima 7 vel 8 annis, et a tertia pari spatio circa Christi natalem dissita; postquam facta detractione in primam refusa est, prout prima annis quindecim vel sexdecim a tertia dividebatur; ab eadem tertia non absimili annorum 16 intervallo disjuncta cognoscitur: quæ causa est, ut æram secundam, et Christi natalem ad annum 5501 repositum, scribens Theophanes, adeoque æra prima et computo 5493 annis tantum octo posterior, et annis totidem Romanorum æra, quæ tertia anterior, annis ante Diocletianum septem mutilatis, æram suam æque ac primam annis 15 vel 16 tertiam præcedere affirmet, et Michaelis Curopalatis annum secundum in annum a mundi conditu κατὰ Ἀλεξανδρεῖς 6305, κατὰ Ῥωμαίους 5321 incidere doceat. Numerandi rationem istam repetit et confirmat auctor de Anastasii inauguratione tractans, pag. 117.

ἑαυτοῦ σκοπὸν [15] οὐκ ἴσχυσεν, ἀλλὰ, καθὼς προέφημεν, μέχρι Διοκλητιανοῦ συγγραψάμενος [16], τὸν τῇδε βίον κατέλυσεν [17], καὶ πρὸς Κύριον ἐξεδήμησεν ἐν ὀρθοδόξῳ πίστει, ἡμῖν, ὡς γνησίοις φίλοις, τήν τε βίβλον ἣν συνέταξε ἀτελῆ [18] καταλέλοιπεν καὶ ἀφορμὰς παρέσχεν τὰ ἐλλείποντα ἀναπληρῶσαι (7). Ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀμάθειαν οὐκ ἀγνοοῦντες καὶ τὸ στενὸν τοῦ λόγου, παρῃτούμεθα τοῦτο ποιῆσαι, ὡς ὑπὲρ ἡμᾶς τὴν ἐγχείρησιν οὖσαν. Αὐτὸς δὲ πολλὰ [20] παρακαλέσας ἡμᾶς μὴ ὀκνῆσαι καὶ ἀτέλεστον καταλιπεῖν τὸ ἔργον, ἐβιάσατο ἐπὶ τοῦτο [21] ἐλθεῖν. Διὸ καὶ [22] ἀναγκασθέντες διὰ τὴν τούτου ὑπακοὴν εἰς τὰ ὑπὲρ ἡμᾶς ἐγχειρήσαντες, κόπον οὐ τὸν τυχόντα κατεβαλόμεθα. Πολλὰς γὰρ βίβλους καὶ ἡμεῖς ἐκζητήσαντες κατὰ τὸ δυνατὸν ἡμῖν καὶ [23] ἐρευνήσαντες, τόδε χρονογραφεῖον [24] ἀπὸ Διοκλητιανοῦ μέχρι τῆς βασιλείας Μιχαὴλ καὶ B Θεοφυλάκτου τοῦ [25] υἱοῦ αὐτοῦ, τάς τε βασιλείας καὶ τοὺς πατριάρχας, καὶ τὰς τούτων πράξεις σὺν τοῖς χρόνοις κατὰ τὸ δυνατὸν ἡμῖν συνεγραψάμεθα [26], οὐδὲν ἀφ' ἑαυτῶν συντάξαντες, ἀλλὰ ἐκ τῶν ἀρχαίων ἱστοριογράφων τε καὶ λογογράφων ἀναλεξάμενοι, ἐν τοῖς ἰδίοις τόποις τετάχαμεν ἑκάστου χρόνου τὰς πράξεις ἀσυγχύτως κατατάττοντες· ἵνα εἰδέναι ἔχωσιν οἱ ἀναγινώσκοντες ἐν ποίῳ χρόνῳ [27] ἑκάστου βασιλέως ποία [28] πρᾶξις γέγονεν, εἴτε πολεμική, εἴτε ἐκκλησιαστική, εἴτε πολιτική, εἴτε [29] δημώδης, εἴτε τις ἑτέρα. Οὐ γὰρ μικρὰν ὠφέλειαν, ὡς οἶμαι, καρποῦται ὁ τῶν ἀρχαίων τὰς πράξεις [30] ἀναγινώσκων. Εἴ τις δέ τι ἐν τούτῳ τῷ πονήματι [31] ἡμῶν ὀνησιφόρον εὕροι, τὴν πρέπουσαν τῷ Θεῷ εὐχαριστίαν ἀποδώσει, C καὶ ἡμῖν τοῖς [32] ἀμαθέσιν καὶ ἁμαρτωλοῖς διὰ τὸν Κύριον ὑπερεύξεται [33]· καὶ εἴ τι ἐλλεῖπον εὕροι, τῇ ἀμαθείᾳ ἡμῶν τοῦτο λογίσεται [34], καὶ τῇ ἀργίᾳ τοῦ χαμερποῦς νοὸς ἡμῶν, καὶ συγγνώσεται ἡμῖν διὰ τὸν Κύριον, φίλον γὰρ τῷ [35] Θεῷ τὸ κατὰ δύναμιν.

A nuimus, scriptis solummodo quæ Diocletiani attingunt ætatem, vitam hanc mortalem deseruit, et cum recta fide ad Dominum profectus, nobis velut sincerioribus amicis, quod fuerat molitus, opus imperfectum simul reliquit, et, ut quæ desiderantur absolveremus præbuit argumentum. Nostra vero imperitia sermonisque inopia non ignorata, onus, cui vires nostræ forent impares, sustinere detrectabamus. Ille contra plura hortatus, **3** ut torpore omni excusso imperfectum opus non despiceremus, dedit animum, et ad illud capessendum manibus et perficiendum coegit. Quocirca ejus monitis morem gerere compulsi, molem robore nostro longe graviorem subire, et pene dicam immensum laborem exantlare suscepimus. Multis siquidem voluminibus diligentius exquisitis, et, quantum facultas et ingenium dedit, examinatis, præsentem chronographiam a Diocletiani temporibus ad Michaelis et Theophylacti ejus filii imperium, reges insuper et patriarchas, necnon eorum gesta et ætates, qua par fuit sedulitate, ex proprio penu nil depromentes aut conferentes, in unum congessimus: quin potius selectis ex veteribus historicis vel rhetoribus plerisque, singulorum acta per annos et tempora propriis quibusque locis pulchro ordine cuncta disposuimus: ut quoto quoque anno rem gestam vel facinus editum, sive in bello, sive in Ecclesia, sive in civili administratione, sive in populari statu, sive qualibet alia ratione commendandum, lector in promptu habeat et in propatulo. Haud enim vulgare est, me quidem judice, eorum qui veterum gesta evolvunt, emolumentum. Si quis autem ex eo quem aggredimur labore fructum aliquem decerpat, debitas Deo grates referet; nobisque licet ineruditis et peccatoribus a Domino bene precabitur: si quid deesse comperiat, imperitiæ et abjecti nostri ingenii tarditati ascribat, et ex Domini charitate condonet. Id enim Deo acceptum opus, quod e facultate nostra proficiscitur.

VARIÆ LECTIONES.

[15] σκοπὸν A a f, κόπον rell. vulg. [16] συγγραψάμενος A a f, ἀναγρ. rell. vulg. [17] κατέλυσεν A. [18] ἀτελῆ om. A a. [19] ἀμαθίαν A. [20] πολλὰ παρακαλέσας ἡμᾶς A, παρ. ἡμ. πολλὰ vulg. [21] τούτῳ f. [22] καὶ add. ex A. [23] κατὰ τ. δυν. ἡμ. καὶ A, καὶ κ. τ. δυν. ἡμῖν vulg. [24] χρονογράφιον A b c f. [25] τοῦ om. b. [26] ἀκριβῶς συνεγρ. a. [27] χρόνῳ A, χρόνων vulg. [28] ποία πρᾶξις A, ποῖα πράξεις vulg. [29] εἴτε ubique ex A rescripsi pro vulg. ἤτε. [30] τῶν ἀρχ. τὰς πρ. A, τὰς ἀρχ. πράξεις [31] εἴ τις vulg. δέ τι ἐν τούτῳ τῷ πον. A, εἴ τι δὲ ἐν τούτῳ πον. vulg. [32] τοῖς add. ex A a f. [33] ἀποδώσῃ — ὑπερεύξηται A. [34] λογίσηται A. [35] τῷ om. A a. f.

JAC. GOARI NOTÆ.

(7) Imperii Romani, et Ecclesiæ, hoc est sedium ejus præcipuarum quinque historiam per annos et tempora concinne digestam describens Georgius Syncellus, vita consiliique successu infeliciter excidit. Eam ob rem Romanorum impp. gesta suis temporibus et annis distributa describere Theophanis, qui Syncelli propositum ad exitum deducere suscepit, animus est. Verum ut Ecclesiæ rebus imperii res conjunctæ, et imperii Romani thronus ad Orientis oras, id est Byzantii, positus, Persarum et Saracenorum æmulum nactus est principatum: hinc Theophanes Romanam historiam prosecuturus, Persarum et Arabum, patriarcharumque primas orbis sedes obtinentium, nomina, ætates, facta, per chronographiam istam ordine bono enarrata percenset.

ΧΡΟΝΟΓΡΑΦΙΑ

ΑΠΟ ΔΙΟΚΛΗΤΙΑΝΟΥ

ΕΩΣ ΜΙΧΑΗΛ ΚΑΙ ΘΕΟΦΥΛΑΚΤΟΥ ΤΟΥ ΥΙΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΩΣ.

—

CHRONOGRAPHIA

A DIOCLETIANO

AD MICHAELEM ET THEOPHYLACTUM EJUS FILIUM IMPP.

—

4 *Annus mundi* 5777. *Divinæ incarnationis* 277 (a).

Romanorum imperatoris Diocletiani a. 1.

Persarum regis Varachis a. 15.

Romæ episcopi Caii a. 7.

Hierosolymorum episcopi Hymenæi a. 13.

Alexandriæ episcopi Theonæ a. 11.

Antiochiæ episcopi Tyranni a. 2.

A. C. 280. — *Persarum regis Varanis annus primus.*

Hoc anno, imperii sui quarto, Diocletianus Maximianum Herculium supremæ potestatis socium renuntiavit.

A. C. 281. — *Persarum regis Narsis annus primus.*

B *Κόσμου ἔτος ,εψοη'* (8). *Τῆς θείας σαρκώσεως ,σωη'.*

Ῥωμαίων βασιλέως Διοκλητιανοῦ ἔτος α'.

Περσῶν βασιλέως Οὐαράχου [36] (9) *ἔτος ιε'.*

Ῥώμης ἐπισκόπου Γαΐου (10) *ἔτος ζ'.*

Ἱεροσολύμων ἐπισκόπου Ὑμεναίου (11) *ἔτος ιγ'.*

Ἀλεξανδρείας ἐπισκόπου Θεωνᾶ (12) *ἔτος ια'.*

Ἀντιοχείας ἐπισκόπου Τυράννου (13) *ἔτος β'.*

A. M. 5780. — *Περσῶν βασιλέως Οὐαράνου ἔτος α'.*

Τούτῳ τῷ ἔτει Διοκλητιανὸς Μαξιμιανὸν [37] τὸν Ἑρκούλιον κοινωνὸν ἀνεδείξατο [38] τῆς αὐτοῦ βασιλείας τῷ τετάρτῳ αὐτοῦ χρόνῳ (14)

A. M. 5781. — *Περσῶν βασιλέως Νάρσεως ἔτος α'.*

VARIÆ LECTIONES.

[36] Persarum regis nomen Οὐαράχης scribitur in A, in cæteris omnibus Οὐαραράχης, in ed. Par. Ἀραρευχής. Apud Syncellum idem modo Οὐράχης audit (p. 670. 13), modo Οὐραράχης (p. 722, 3), Agathias autem p. 260, 11, hunc regem et filium ejus, qui in omnibus Theodhanis codicibus infra Οὐαράνης nominatur, uno eodemque nomine Οὐαραράνης nuncupat. [37] Μαξιμῖνον c. f. [38] ἀνέδειξεν A a f.

JAC. GOARI NOTÆ.

(8) Georgii Syncelli continuator Theophanes ejus numeros a mundi conditu ad Christi ortum observat: et a Christi rursum die natali ad Diocletiani tyrannidem, quot annos ille posuit, 200 nimirum et 77 ita pares hic exscribit.

(9) Syncello dictus Οὐράχης et annus ejus primus ex ejusdem calculo ad mundi 5768 devincitur.

(10) Is apud Syncellum 5771 in pontificem inauguratur.

(11) Cujus annos 12 duntaxat numerat Syncellus, et eorum primum ad mundi 5764 alligat.

(12) Huic octodecim assignat, primum ad mundi 5767. Alexandriæ præsulum annos apud Theophanem et Abrahamum Ecchellensem diversimode recensitos reperies.

(13) Nondum Syncello recensitus: apud quem Cyrillus anno 5768 pontifex institutus, præsente C 5777 ex annis 15 sibi attributis decimum numerare cognoscitur.

D *ris, abscissa coma, factionibus populi publice te traducendum committam. Ab eo tempore quievit : opinionem quippe Eutychis defendebat.*

(50) Ex *Chronico Alexandr.* hæc ferme ad verbum desumpta in hunc eumdem annum. Qui tamen hic Μαριανός, ibi Μαυριανός scribitur.

(51) Ex eodem Chronico, quæ hic desunt supplentur : Καὶ ταῦτα ἀκούσας ὁ βασιλεὺς Ζήνων συνέσχεν τὸν πατρίκιον Πελάγιον τὸν ἀπὸ σιλεντιαρίων πληρώσαντα, καὶ ἐλθόντα εἰς τὴν τοῦ πατρικίου ἀξίαν, ἄνδρα σοφόν. Inferius mortis genus exprimitur : Ὃν ἔπνιξαν ἀγχόνῃ. Inferius iterum, qui hic ὕπαρχος, ibi ἔπαρχος τῶν πραιτωρίων dicitur.

(52) Subdit Chronicon : Καὶ ὅτι μετεστάλη ὑπὸ τοῦ βασιλέως· ὡς παρήρχετο διὰ τῆς Μεγάλης ἐκκλησίας ἐποίησεν ἑαυτὸν βουλόμενον εὔξασθαι, καὶ κατελθὼν ἐκ τοῦ ὀχήματος, εἰσῆλθεν εἰς τὴν Μεγάλην ἐκκλησίαν ΚΠ., καὶ ἔμεινεν ἐκεῖ ἔσω, καὶ ἐῤῥύσθη πικροῦ θανάτου

A σκοπον δὲ αὐτὸν οὐκ ἐδέξατο, διὰ τὸ μὴ ἐκβαλεῖν τὸ ὄνομα Ἀκακίου ἐκ τῶν διπτύχων καὶ τοῦ μετ' αὐτὸν Φραυΐτα.

Τῷ δ' αὐτῷ [15] ἔτει Πέτρος ὁ Γναφεὺς τέθνηκεν, καὶ προεβλήθη ἐπίσκοπος Παλλάδιος (53) πρεσβύτερος τῆς ἐν Σελευκείᾳ ἐκκλησίας τῆς Ἁγίας πρωτομάρτυρος Θέκλης. Συνεψηφίσθη δὲ Παλλαδίῳ καὶ Ἰωάννης ὁ Κωνσταντίου καὶ Ἀναστάσιος ὁ σιλεντιάριος ὁ κακῶς βασιλεύσας. Ὁ δὲ Ζήνων ἐπαρθεὶς τῇ τῶν τυράννων ἀναιρέσει πρὸς δημεύσεις καὶ φόνους ἀδίκους χωρεῖ, καὶ πάντα ἄνθρωπον αἰτιώμενος ὡς ἐκείνοις [16] ἢ συμμαχήσαντα ἢ συμβουλεύσαντα [17] τὴν ἐπίθεσιν. Ἀναιρεῖ δὲ καὶ Κότταϊν ἀλόγως, τὸν ἅμα Ἰωάννῃ τῷ Σκύθῃ πολιορκίᾳ περιγενόμενον [18] B Ἴλλου καὶ Λεοντίου, καὶ τὸν θαυμαστὸν [19] καὶ περὶ ποίησιν ἐπῶν ἀξιόλογον Πελάγιον τὸν πατρίκιον (54) ὡς φρόνιμον καὶ δίκαιον· καὶ ἐπὶ τούτοις τελευτᾷ Ζήνων ἐπιληψίᾳ κατασχεθεὶς, καὶ ἐπὶ στόματος φέρων ἀπαύστως τὴν Πελαγίου προσηγορίαν τοῦ παρ' αὐτοῦ φονευθέντος ἀδίκως· παῖδα μὲν μὴ καταλιπὼν (55), Λογγῖνον δὲ τὸν ἀδελφὸν [20], δὶς μὲν ὑπατεύσαντα καὶ τῆς συγκλήτου βουλῆς πάσης ἡγούμενον, ἀνόητον δὲ καὶ βαρὺν καὶ ἀκόλαστον ὄντα, ὃς καὶ [21] πολλοὺς Ἰσαύρους ἐν Βυζαντίῳ ἔχων καὶ τὸν Λογγῖνον τὸν μάγιστρον ὄντα καὶ φίλον αὐτοῦ, καὶ τούτοις θαῤῥήσας ἀπονητὶ τὴν βασιλείαν ἔχειν ᾤετο· τῆς δὲ Ἀρεάδνης καὶ τῆς συγκλήτου βουλῆς καὶ τοῦ στρατεύματος παντὸς Ἀναστάσιον τὸν σιλεντιάριον ἀναγορευσάντων βασιλέα [22], τῆς ἐλπίδος ὁ Λογγῖνος ἠστόχησεν. C Βασιλεύσας οὖν ὁ Ἀναστάσιος ἔγγραφον ἀπῃτήθη ὁμολογίαν (56) παρὰ Εὐθυμίου τοῦ πατριάρχου πρὸς τὸ μὴ σαλεῦσαί τι τῆς Ἐκκλησίας καὶ τῆς πίστεως [23], ἀνάξιον αὐτὸν ἀποκαλῶν τῶν Χριστιανῶν τῆς βασιλείας (57). Βιαζομένης δὲ αὐτὸν τῆς βασιλίδος Ἀρεάδνης καὶ τῆς συγκλήτου, ἔλαβεν αὐτοῦ τὸ ἰδιόχειρον, ὡς [24] ἀποδέχεται εἰς ὅρον πίστεως τὰ δόγματα τῆς ἐν Χαλκηδόνι συνόδου. Καὶ οὕτω στε-

A tium: haud tamen episcopum agnovit, quod Acacii, quique in episcopatu successerat, Phravitæ nomen e tabulis ecclesiasticis non expunxerat.

Hoc eodem anno Petrus Fullo interiit, et Palladius, sanctæ protomartyris Theclæ ecclesiæ, quæ est in Seleucia, presbyter, promotus est episcopus. Cum Palladio etiam electi sunt Joannes Constantini et Anastasius silentiarius, qui postmodum pessime imperavit. Porro Zeno tyrannorum prosperis cædibus elatus, ad proscriptiones et injusta homicidia transfertur, et singulos quosque homines, vel quasi prius opitulatos, vel ad imperium invadendum suggessisse consilium criminatur. Cottaïn etiam B Joannis Scythæ armorum socium, et Illi Leontiique ab eis obsessorum victorem, Pelagiumque patricium virum in edendis carminibus præcipuum et admiratione dignum prudentiaque et æquitate celebrem injuste interficit. In his Zeno morbo comitiali correptus, Pelagii contra fas et æquum occisi nomen assidue repetens moritur: filium quidem nullum, fratrem vero Longinum post se reliquit bis consulatu functum, senatus principem declaratum, amentem sane, cunctis invisum et luxui plane deditum: qui cum Isaurorum multitudinem Byzantii
117 sibi adjunctam haberet et Longinum magistrum amicitia sibi devinxisset, eorum ope confisus, absque labore imperium consequi posse putabat. Areadna porro, totoque senatu et exercitu C Anastasium silentiarium imperatorem proclamantibus, spe Longinus excidit. Anastasius itaque potitus imperio pactionem scripto firmatam, qua circa fidem et Ecclesiam se nihil innovaturum promitteret, ab Euthymio patriarcha Christianorum imperio indignum palam publicante exposcitur. Areadna imperatrice senatuque ad exhibenda postulata impellentibus, chartam propria manu subscriptam, qua velut fidei normam Chalcedonensis

VARIÆ LECTIONES.

[15] τῷ δ' αὐτῷ A, τούτῳ δ' αὐτῷ vulg. [16] ἐκείνοις a, ἐκεῖνος A f, ἐκείνους vulg. [17] ἢ συμβουλεύσαντα om. A, καὶ συμβ. vulg. [18] τῇ πολ. a, γενόμενον A. [19] καὶ τὸν θαυμ. καὶ περὶ A, καὶ τὸ θ. περὶ vulg. [20] τὸν ἀδελφὸν, δὶς μὲν ὑπ. A e f, τὸν ἀδ. αὐτοῦ δὶς ὑπ. vulg. [21] ὃς καὶ] ὡς καὶ codd. et vulg. [22] βασιλέα om. a. [23] τῆς πίστεως A, πίστεως vulg. [24] ὡς A; πῶς vulg.

JAC. GOARI NOTÆ.

(53) Ad annum superiorem pertinent ista. Evagrius lib. III, cap. 33.

(54) Addit Cedr., quod et necessarium, ἐλευθεροστομεῖν εἰδότα. *Occidit quoque admirandum versibus condendis Pelagium patricium, qui liberius soleret loqui*, etc. perperam interpr. τὸ, θαυμαστὸν περὶ ποίησιν ἐπῶν, ad superiorem Cottaïn refert virum militarem, cum ipsa textus series ad Pelagium spectare ostendat, clariusque Cedr. cum ita distinguit: ἀναιρεῖ δὲ καὶ τὸν θαυμαστόν. In prioris nece sugillat Theophanes Zenonis ingratitudinem, in posterioris, ipsam rei indignitatem, quod virum tantum, eo duntaxat libere loquentem quod φρόνιμος καὶ δίκαιος esset, *prudens ac justus*, occiderit. Miror tot occurrere quæ sulligere debeam, ac doleo; deesse tamen auctori ac officio nequeo. Emendatus vicissim Cedr. cum illo tribuit quæ sunt Cottaïn. Illus enim pridem perduellis occubuerat ipso Cottaïn ejus victore. COMBEFIS.

(55) Perperam Zenonis filium ejusque pravos D mores recenset Suidas v. Zenon: ubi et de ejusdem morte. Confirmat Evagrius auctoris dicta lib. III, cap. 29.

(56) Anastasius secundus imperator a patriarcha redimitus, primus professionem fidei exigitur: de quo Evagrius, lib. III, cap. 32, et Theodorus Lector lib. II. Vox ἠπαιτήθη vice ἀπῃτήθη in textu interpolato corruptæ Græcorum loquelæ argumentum: juxta quam haud verbo, sed præpositioni (si compositum fuerit) præfigunt augmentum.

(57) Ipse nimirum Anastasius, specie illa modestiæ benevolentiam captans. Sic et Anast. et Cedr. quidquid interpres syntaxi ipsa repugnante verba hæc inauguranti Euphemio tribuat, in cujus ore pro rei et personæ ratione minime congruant. Cogendus fuit Anastasius, ut velut invitus imperium iniret, non Euphemius patriarcha ut omnium votis expetitum cautione accepta coronaret. Nonnihil clarior Cedr. ut solet obscura Theophanis, nonnihilque perplexa explicare. COMBEFIS.

synodi decreta se acceptare profiteretur, ab eo traditam accepit Euthymius. Exin ab eo coronatus, Areadnam in uxorem, erat quippe cœlebs, ducit. Sane Manichæi et Ariani de Anastasii promotione sibi gratulabantur : Manichæi quidem, quod imperatoris mater eorum partibus amice afficeretur; Ariani vero, quod Clearchum ejus avunculum, matrisque prave sentientis fratrem suum, omnino possiderent. Cæterum annus quo Zeno mortuus est, et Anastasius imperare cœpit, ab Adamo 5999 apud Romanos numeratur, qui juxta diligentiorem et veriorem Alexandrinorum calculum 5983, a Diocletiani imperio 207, a divina incarnatione 483, indictione 14 notatur. Coronatus est Anastasius præfata indictione 14, mensis Aprilis 14, magna Paschalis solemnitatis feria quinta, in circi sedili.

A φθεὶς ὑπ' αὐτοῦ, Ἀρεάδνην ἄγεται (58) εἰς γάμον οὔπω πρότερον γαμετῇ συνοικήσας. Μανιχαῖοι δὲ καὶ Ἀρειανοὶ ἔχαιρον ἐπὶ Ἀναστασίῳ, Μανιχαῖοι μὲν ὡς τῆς μητρὸς [25] τοῦ βασιλέως ζηλωτρίας οὔσης καὶ προσφιλοῦς αὐτῶν, Ἀρειανοὶ δὲ ὡς Κλέαρχον τὸν θεῖον αὐτοῦ, ἀδελφὸν τῆς κακόφρονος μητρὸς, ὁμόδοξον ἔχοντες. Τοῦτο δὲ τὸ ἔτος, ἐν ᾧ Ζήνων τέθνηκε καὶ Ἀναστάσιος ἐβασίλευσεν, ἀπὸ Ἀδὰμ (59) μὲν κατὰ Ῥωμαίους ‚εϡϟθ', κατὰ δὲ τὴν ἀκριβῆ καὶ ἀληθινὴν [26] ψῆφον Ἀλεξανδρέων ‚εϡπγ', ἀπὸ δὲ τῆς ἀρχῆς Διοκλητιανοῦ σζ', τῆς θείας σαρκώσεως υπγ', ἰνδικτιῶνος ιδ'. Ἐστέφθη δὲ Ἀναστάσιος τῇ προγεγραμμένῃ ιδ' ἰνδικτιῶνι, μηνὶ Ἀπριλίου ιδ', ἡμέρᾳ πέμπτῃ τῇ μεγάλῃ τοῦ Πάσχα ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου.

B

A. C. 484. — *Romanorum regis Anastasii annus primus.*

Persarum regis Zamasphi annus primus.

Hoc anno cum Anastasius Dirrhachiensis Dicorus imperaret, Longini Zenonis fratris seditionem et insidias perpessus est : eumque mox in potestatem accipiens, Alexandriam Ægypti mittit exsulem, et presbyterum jubet ordinari. Ille septennio Alexandriæ superstes mortem obiit. Imperator vero Longinum magistrum et advenas Isauros habens suspectos, magisterium Longino abrogavit. Tum autem Petrus Fullo ab exsilio Antiochiam propriam sedem revocari deprecabatur, quem ut postliminio rediret, non tamen Antiochiam ingrederetur, imperator permisit; Palladium etenim Antiochiæ præsulem ordinari præcepit. Hinc Euthymius Cpoleos præsul, coactis, qui tum in urbe versabantur, episcopis, sanctam Chalcedonensem **118** synodum confirmavit. Joannes vero Tabennesiota Romæ degens, Anastasium imperare et Byzantium audiens occupare, gratam beneficiorum vicissitudinem ab eo, quod olim Alexandriæ summam in eum exercuisset humanitatem, quem etiam nudum naufragio exceperat adeoque benigne foverat, ut miseriarum

A. M. 5984. — *Ῥωμαίων βασιλέως Ἀναστασίου ἔτος α'.*

Περσῶν βασιλέως Ζαμάσφου [27] *ἔτος α.*

Τούτῳ τῷ ἔτει βασιλεύσαντος Ἀναστασίου τοῦ Διῤῥαχιτιάνου (60) τοῦ Δικόρου (61), ἐστασίασεν κατ' αὐτοῦ ὁ Λογγῖνος ὁ Ζήνωνος ἀδελφὸς, ὃν χειρωσάμενος ἐπ' Αἴγυπτον πέμπει ἐξόριστον ἐν Ἀλεξανδρείᾳ, καὶ ἐκέλευσε χειροτονηθῆναι αὐτὸν πρεσβύτερον. Ἑπταετίαν δὲ ἐπιβιοὺς ἐν Ἀλεξανδρείᾳ ἐτελεύτησεν. Ὑποψίαν δὲ ἔχων καὶ περὶ Λογγῖνον τὸν μάγιστρον ὁ βασιλεὺς καὶ τοὺς ἐπιδημοῦντας Ἰσαύρους, παύει τὸν Λογγῖνον τοῦ μαγιστρίου. Πέτρου C δὲ τοῦ Γναφέως (62) ἐν Ἀντιοχείᾳ ὄντος [28] ἐκ τῆς ἐξορίας ἐπανελθεῖν εἰς τὸν ἴδιον θρόνον δυσωποῦντος, ὁ βασιλεὺς [29] τῆς ἐξορίας μὲν τοῦτον [30] ἀνεκαλέσατο, εἰς δὲ Ἀντιόχειαν [31] ἀπελθεῖν οὐκ ἀπεδέξατο, Παλλάδιον δὲ χειροτονηθῆναι ἐν Ἀντιοχείᾳ ἐποίησεν. Εὐθύμιος δὲ ὁ Κωνσταντινουπόλεως (63) συναγαγὼν τοὺς ἐνδημοῦντας ἐπισκόπους τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἐκύρωσεν. Ἰωάννης δὲ ὁ Ταβεννησιώτης ἐν Ῥώμῃ ὢν, ἤκουσεν ὅτι ὁ Ἀναστάσιος ἐβασίλευσεν, καὶ ἦλθεν εἰς τὸ Βυζάντιον, ἀγαθὰς ἀμοιβὰς ἐλπίζων παρ' αὐτοῦ, ἀνθ' ὧν ἦν ἐν Ἀλεξανδρείᾳ πε..οιηκὼς αὐτῷ οἰκονομίαν (64), ὃν καὶ γυμνὸν ἀπὸ ναυαγίου

VARIÆ LECTIONES.

[25] μητρὸς A, μητέρος vulg. [26] ἀληθινὴν A, ἀληθινὸν vulg. [27] Πεξαμασφὸς Persarum rex in vulg. et A audit ; ὁ Περόζου παῖς Ζαμασφὸς a, ὁ Παιρόζου παῖς f, Ζαμάσφου dedi ex Agath. IV, 28, p. 268, nam et infra (p. 214) Ζαμάσφης legitur in omnibus codd [28] ὄντος add. ex A e. [29] δυσωποῦντος ὁ βασ.] ἐκέλευσεν, ὁ δὲ βασιλεὺς A e. [30] τοῦτον add. ex A. [31] εἰς δὲ Ἀντ. A, εἰς Ἀντ. δὲ vulg.

JAC. GOARI NOTÆ.

(58) *Simul imperator et maritus innotuit*, ait Jornandes *de regn. et temp. successione.* D

(59) Comparandus istis Evagrius lib. III, cap. 39, et quæ scripta superius ad operis titulum, et pag. 1.

(60) Evagrius lib. III, cap. 29 : Οὗτος ὁ Ἀναστάσιος πατρίδα τὴν Ἐπίδαμνον ἔχων, Δυῤῥάχιον νῦν προσηγόρευται· *Hic Anastasius patriam habuit Epidamnum, Dyrrhachium nunc vocatam.*

(61) Zonaras in Anastasio : Δίκορος δὲ ἐκαλεῖτο ὁ Ἀναστάσιος, ὅτι ἀνομοίας ἀλλήλαις εἶχε τὰς κόρας τῶν ὀφθαλμῶν. Τῇ μὲν γὰρ ἦν τὸ χρῶμα μελάντερον· ἡ δὲ λαιὰ πρὸς τὸ γλαυκότερον ἐχρωμάτιστο· *Dicori porro nomen ex eo habuit, quod pupillis oculorum fuit dissimilibus : altera nigriore, altera ad glaucum declinante.*

(62) Mortuum anno superiore prædicavit.

(63) Evagrius, lib. III, cap. 30.

(64) Ποιεῖν οἰκονομίαν, quasi ἐπιμέλειαν ἔχειν interpretatus sum. *Alexandriæ fecerat illum œconomum*, reddidit Anastasius. Quæ mollior et aptior versio, lector judicabit. Nicephorus, lib. XVI, cap. 26, τὸ, οἰκονομίαν exponit θεραπείαν. — Ego putaverim, œconomi munus Anastasio imposuisse Joannem, cujus ille impendio sic afflictam ex naufragio fuerit solatus fortunam; alioqui insolens, ut vox οἰκονομία humanitatem significet, quod sibi plusculum indulgens reddidit interpres. Non mirum autem Alexandriæ factum œconomum, illudque aliquanto tempore gessisse munus, qui postmodum electus est cum Palladio episcopus Antiochenus, quique

δεξάμενος καὶ συγκροτήσας οὕτως, ὡς ἀναισθητον αὐτὸν ποιῆσαι τῆς συμφορᾶς. Ἀναστάσιος δὲ ἀκούσας ὅτι παρεγένετο, ἀγνωμοσύνῃ πολλῇ τοῦτον ἐξορισθῆναι προσέταξεν, μηδ' ὅλως αὐτὸν δεξάμενος. Ἰωάννης δὲ τοῦτο προγνοὺς, ἐπὶ Ῥώμην φεύγων διεσώθη.

A reddidisset immemorem, ad eum proficisci decrevit. Anastasius virum audiens accedere, ingenti prorsus ingrati animi vitio jussit exsulem agi, nec solo conspectu dignatus excipere. Joannes re præscita, Romam fugiens saluti consuluit.

A. M. 5985. — *Ῥώμης ἐπισκόπου Γελασίου ἔτος α'.*

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς τοὺς ἐν Κωνσταντινουπόλει Ἰσαύρους (65) διὰ πολλὰς ἀτοπίας ἐδίωξεν, οἳ ἐξελθόντες τυραννίδα ἐμελέτησαν. Λογγῖνος δὲ ὁ ἀπὸ μαγίστρων συλλαβὼν τούτους τε καὶ ἄλλην δύναμιν Βαρβάρων καὶ λῃστῶν ὡς πεντεκαίδεκα μυριάδας, ὅπλων τε καὶ χρημάτων εὐπορίᾳ θαῤῥῶν ἐν Ἰσαυρίᾳ παρὰ Ζήνωνος τεθειμένων, παραγίνεται εἰς τὴν τῶν Ἰσαύρων χώραν, ἐνδεδωκότος [32] B τοῦ βασιλέως τὴν ἔξοδον, καίτοιγε ὑποτοπάζοντος τὴν ἐπίθεσιν. Παραχρῆμα δὲ ἐπανίσταται καὶ μέχρι Φρυγίας καὶ τοῦ Κοτυαΐου χωρεῖ, πόλεις τε πολλὰς λῃϊζόμενος, πλὴν οὐκ αὐτὸς ἡγούμενος τοῦ στρατεύματος. Νινίλιγγις [33] (66) γὰρ ἦν ὁ τῆς Ἰσαυρίας ἡγεμὼν ἐπὶ Ζήνωνος καταστὰς ἀνὴρ θρασύτατος, καὶ Ἀθηνόδωρος ἁπλούστατος ἄνθρωπος, εἷς τῶν συγκλητικῶν, καὶ Κόνων ὁ τῆς Ἀπαμείας ἐπίσκοπος, καταλιπὼν μὲν τὸν θρόνον, εἰς ὁπλίτην δὲ καὶ στρατηγὸν ἐξ ἱερέως μεταταξάμενος. Τούτοις ἀνθίστησι [34] στράτευμα Ῥωμαϊκὸν Ἀναστάσιος ἡγουμένου ὄντος Ἰωάννου τε τοῦ Σκύθου τοῦ τὴν Ἴλλου καὶ Λεοντίου τυραννίδα καθελόντος, καὶ Ἰωάννου τοῦ ἐπίκλην [35] Κυρτοῦ, ἀμφοτέρων τοῦ Θρακῴου στρατεύματος ἡγουμένων, C καὶ Διογένους (οὗτοι κόμητες σχολῶν ἐτύγχανον [36] ὄντες) καὶ ἑτέρων τινῶν ἐπαινετῶν ἀνδρῶν. Μάχης δὲ περὶ τὸ Κοτυαῖον γενομένης, Νινίλιγγις μὲν ὁ στρατηγὸς ἀποσφάττεται. Μικροῦ δὲ τὸ πλεῖστον Ἰσαυρικὸν [37] ἀπολλύμενον μόλις ἐπὶ τὰ σφέτερα διεσώθη. Καὶ εἰ μὴ περὶ τὰ σκῦλα [38] τοῖς Ῥωμαίοις γέγονε σχολὴ, τελείως ἂν ἐκράτησαν τοῦ πολέμου. Ἀλλ' ἐκείνων ἐν τούτοις ἀποσφαλέντων, φρούριόν τι [39] ἐπὶ τῆς ἄκρας τοῦ Ταύρου κρατήσαντες οἱ Ἴσαυροι τρίτον ἔτος ἦρξεσαν πολεμοῦντες ὀχυρούμενοι τῇ θέσει τῶν ὑπὲρ τοῦ Ταύρου πολισμάτων τε καὶ φρουρίων.

A. C. 485. — *Romæ episcopi Gelasii annus primus.*

Hoc anno Anastasius imperator Isauros Cpoli commorantes ob pleraque fœda ab illis admissa flagitia urbe ejecit: qui post discessum tyrannidem excitare sunt moliti. Longinus vero exmagister, istis cum ingenti Barbarorum ac prædonum multitudine ad centum et quinquaginta millia collectis, et armorum atque pecuniarum, quas Zeno in Isauria reposuerat, copia fretus, in Isaurorum provinciam contendit, vel ipso imperatore profectionem permittente, tametsi invasionem tyrannidis suspicabatur. Confestim Longinus rebellionem exsequitur et in Phrygiam usque et Cotyæum cuncta occupat loca civitatesque plurimas devastat, ducem licet exercitus non se gereret. Ninilingis enim Isauriæ præfectus a Zenone olim constitutus vir audacissimus aciem regebat, et Athenodorus vir simplicissimus ex ordine senatorio, et Conon Apameæ episcopus, qui relicta sede ab episcopo in militem armatum mutatus, inter copiarum ductores expeditionem susceperat. Cunctis istis Joanne Scytha, qui Illi Leontiique tyrannidem dissiparat, et altero Joanne, cui Cyrtus cognomen, utroque Thracicarum copiarum præfecto, et Diogene (erant isti scholarum comites) et aliis quibuspiam viris egregiis ducibus institutis, Romanum exercitum opponit Anastasius. Prælio ad Cotyæum conserto, dux Ninilingis necatur; cætera vero Isaurorum manus majori ex parte ad internecionem cæsa, vix locum, quo eruperat, recepit: ac nisi Romanus exercitus in spoliis colligendis tempus inutiliter expendisset, plenam ex hoc bello victoriam reportabat: sed dum in his incaute detinentur, **119** Isauri, munitissimam in Tauri summitate obtinentes arcem, bellum usque in tertium annum protraxerunt, oppidorum atque arcium in Tauro monte constitutarum situ opportuno muniti.

A. M. 5986. — Τούτῳ τῷ ἔτει ληφθείσης Κλαυδιουπόλεως ὑπὸ Διογένους τῆς μεταξὺ τῶν δύο Ταύρων ἐν πεδίῳ κειμένης, οὐκ ἐνεγκόντες οἱ [40] Ἴσαυροι

D A. C. 486. — Hoc anno Claudiopolim inter utrumque Taurum in planitie positam, a Diogene captam non ferentes Isauri descendunt e Tauro et Dioge-

VARIÆ LECTIONES.

[32] ἐκδεδωκότος A. [33] Νινιλίγγης A h. l. et infra. [34] ἀνθίστησι A, ἀνθίσταται vulg. [35] τοῦ ἐπ. A, τὸ ἐπ' vulg. [36] ἐτύγχανον ὄντες e. τυγχάνοντες vulg. [37] Ἰσαυρικὸν ἀπολλύμενον A et alii, Ἰσαυρικῶν ἀπολλυμένων vulg. [38] σκῦλα A, σκύλλα vulg. [39] φρούριον τι A, φρουρίου τινὸς vulg. [40] οἱ add. ex A.

JAC. GOARI NOTÆ.

CP. in majori ecclesia conventus agebat, iisque Euphemio molestus erat; ut ubique velut clericum præferret, homo cælebs, tumque duntaxat junctus nuptiis, cum una cum imperio Ariadnam uxorem duxit. COMBEFIS.

(65) Isauri gens agrestis ad Taurum montem latrociniis assueta. Eam Zeno imperator, tum ob genus tum ob auxilium ab ea acceptum, charam habuit inter provincias reliquas, et plurima voluit auctoritate CP. pollere. Candidus Photianus cod. 79, Sozomenus, *De Isauris*, lib. VIII, cap. 25. Bellum in eos motum hoc anno scribit Marcellinus Comes: de quo Theodorus Lector lib. II, et Jornandes, *De regn. ac temp. success.*

(66) Lilingem pronuntiat citatus Jornandes.

nem adeo pertinaciter obsidione vallant, ut totus fame perire et extrema internecione deleri periclitaretur exercitus. Verum Joannes cognomento Cyrtus, superatis Tauri angustiis prehensisque excubiis, improvisus adveniens, et una simul Diogenes irruptionem faciens, hostium urbem obsidentium copias omnes prostravit. Ibi vulnere accepto Conon episcopus brevi postmodum spatio moritur; et fit Romanis secundæ et maximæ accessio victoriæ.

A. C. 487. — *Hierosolymorum episcopi Martyrii annus primus.*

Eodem anno Zamasphes Perozis Persarum regis filius Cabade expulso regnum Persarum obtinuit quatuor annos Cabadis regno debitos.

Hoc anno Longinus quidam Selenuntius dictus Antiochiam Isauriæ in præcelso quodam monte ad meridianum regionis mare sitam inhabitans, commeatum undequaque conquisitum navibus onerariis ad Isauros asportavit: in hisce vero locorum angustiis Longinus magister et Athenodorus agebant. Imperator autem longarum belli morarum pertæsus, Euthymio episcopo, se pacem exoptare, fidenter retulit: ac peregrinantes in urbe episcopos tanquam Isaurorum nomine veniam deprecaturos congregare jussit. Euthymius Joanni patricio, Athenodori, qui tyrannidis excitatæ auctor et princeps exstiterat, socero revelavit secretum. Ille cursu concito rem imperatori renunciat, quæ immortalis odii fomitem in Anastasii imperatoris animo adversus Euthymium succendit, ex quo Isaurorum insidias et molitiones imputavit Euthymio: structis eapropter Euthymio insidiis, cuidam, ut ante martyrium in ejus caput gladium vibraret, suggesserunt. **120** Paulus autem quispiam Ecclesiæ defensor totis humeris patriarcham excedens, ictum capite non sine ingenti periculo excepit: insidiatorem vero sira, gladio sic dicto, interfecit. Cæterum Euthymio in conventu montis mortem moliti sunt rursum inferre, quam ille privato habitu assumpto effugit et salutem quæsivit. Demum Anastasius imperator fidei confessionem olim editam ab Euthymio violenter extorsit.

A. C. 488. — *Persarum regis Cabadis annus primus.*

Hoc anno Joannes Scytha post diuturnam obsi-

A κατοδαίνουσι τοῦ Ταύρου καὶ ἐπὶ πολὺ πολιορκοῦσι τὸν Διογένην, ὡς καὶ λιμῷ κινδυνεῦσαι καὶ φθαρῆναι τὸ στράτευμα. Πλὴν Ἰωάννης ὁ Κυρτὸς (67) ὑπερβὰς τὰ στενὰ τοῦ Ταύρου καὶ τοὺς φύλακας ἑλὼν, αἰφνιδίως αὐτοῖς ἐπιστὰς, διέφθειρε τὸ στράτευμα τῶν πολιορκούντων, ὑπεξελθόντος καὶ Διογένους. Τότε καὶ Κόνων ὁ [41] ἐπίσκοπος πληγεὶς μετὰ βραχὺ τελευτᾷ, καὶ γίνεται τοῖς [42] Ῥωμαίοις αὕτη δευτέρα καὶ μεγίστη [43] νίκη.

A. M. 5987. — *Ἱεροσολύμων ἐπισκόπου Μαρτυρίου ἔτος α'.*

Τῷ δ' αὐτῷ ἔτει Ζαμάσφης ὁ υἱὸς (68) Περώζου [44] βασιλέως Περσῶν ἐξεώσας Καβάδην, ἐκράτησεν

B ἔτη δ' ἐκ τῶν αὐτοῦ τῆς βασιλείας Περσῶν.

Τούτῳ τῷ ἔτει Λογγῖνός τις ὁ λεγόμενος Σεληνούντιος [45] τὴν Ἀντιόχειαν τῆς Ἰσαυρίας οἰκῶν ἐπί τινος ὄρους κειμένην ὑψηλοῦ κατὰ τὴν μεσημβρινὴν [46] τῆς χώρας θάλασσαν εἰσῆγεν τοῖς Ἰσαύροις ὁλκάσι πολλαῖς ἐμπορευόμενος [47] πανταχόθεν τὰ τρόφιμα. καὶ ἐν ταύταις ταῖς δυσχωρίαις διῆγον Λογγῖνος ὁ μάγιστρος καὶ Ἀθηνόδωρος. Ἀποκαμὼν δὲ ὁ βασιλεὺς ἐν τῷ χρονίζειν τὸν πόλεμον (69), ἐθάῤῥησεν Εὐθυμίῳ τῷ ἐπισκόπῳ, ὡς εἰρήνης ἐφίεται, καὶ συνάξαι [48] τοὺς ἐνδημοῦντας ἐπισκόπους προσέταξεν παρακαλέσοντας [49] δῆθεν περὶ τῶν Ἰσαύρων. Εὐθύμιος δὲ τὸ μυστήριον ἐξήγαγεν πρὸς Ἰωάννην τὸν πατρίκιον πενθερὸν Ἀθηνοδώρου τοῦ ἐξάρχου τῆς

C τυραννίδος. Ὁ δὲ δραμὼν τῷ βασιλεῖ ἀπήγγειλεν, ὅπερ εἰς ἀδιάλλακτον ἔχθραν κατ' Εὐθυμίου τὸν βασιλέα Ἀναστάσιον ἤγειρεν. Ὅθεν τὰς τῶν Ἰσαύρων ἐπιβουλὰς Εὐθυμίῳ ἐπέγραφεν. Εὐθυμίῳ δέ τινες ἐπιβουλεύοντες, ὑπέθεντό [50] τινι πρὸ τοῦ μαρτυρίου ξίφος ἐλάσαι κατὰ τῆς κεφαλῆς αὐτοῦ. Παῦλος δὲ ὁ ἔκδικος τῆς Ἐκκλησίας ὑπερωμίας ὢν, τὴν πληγὴν κατὰ τῆς κεφαλῆς ἐδέξατο καὶ ἐκινδύνευσεν· τὸν δὲ ἐπίβουλον τῇ λεγομένῃ [51] σειρᾷ (70) ἀνεῖλεν. Πάλιν ἐν τῇ συνάξει τοῦ ὄρους ἐνήδρευσαν [52] ἀνελεῖν Εὐθύμιον, ὃς ἰδιωτικῷ σχήματι διαφυγὼν ἐσώθη. Ἀναστάσιος δὲ ὁ βασιλεὺς τὴν ὁμολογίαν αὐτοῦ παρὰ Εὐθυμίου μετὰ βίας [53] ἀνείλατο [54].

D A. M. 5988. — *Περσῶν βασιλέως Καβάδου ἔτος α'.*

Τούτῳ τῷ ἔτει Ἰωάννης ὁ Σκύθης πολιορκῶν

VARIÆ LECTIONES.

[41] ὁ add. ex A. [42] τοῖς add. ex A. [43] μεγίστη A, μεγάλη vulg. [44] Περώζου A, Περόζου a, Περόζου vulg. [45] Σεληνοῦντος A f. [46] μεσημβρινὴν A, μεσημερινὴν vulg. [47] ἐκπορευόμενος e f. [48] συνάξας A. [49] παρακαλέσοντας A, παρακαλέσαντας vulg. [50] ὑπέθεντο A e, ἐπέθεντο vulg. [51] ἐπιλεγομένῃ A. [52] ἐνήδρευσαν A, ἐνήδρευσεν vulg. [53] αὐτοῦ, μετὰ βίας om. A. [54] ἀνείλατο A f, ἀνεῖλεν a, ἀφείλετο e, ἀφείλατο vulg.

JAC. GOARI NOTÆ.

(67) *Gibbum* nonnulli reddunt.

(68) Zambases dicitur Agathiæ lib. IV, Blases Procopio, *De bello Persico*: uterque legendus. Πεξαμασφός, scriptum reperies pag. superiore 117, et dictionem inter varias lectiones emendatam.

(69) Quinquennium testatur Theodorus Lector, pene sexennium Jornandes, sexennium Marcellinus. Auctor quarto anno finitum videtur asserere.

(70) Lego σειρομάστην apud plures auctores, de quo non jejune in Codinum. Σειράν hic neque *restem*, neque *catenam* interpretabor, sed *gladii* genus σειρομάστην, quem Hesychius λόγχην, δόρυ, ῥομφαίαν exponit.

παρέλαβεν τόν τε Λογγῖνον τὸν ἀπὸ μαγίστρων, καὶ A Λογγῖνον τὸν Σεληνούντιον καὶ Ἀθηνόδωρον καὶ τοὺς λοιποὺς τυράννους. Καὶ τούτους ἀποτεμὼν, τὰς κεφαλὰς αὐτῶν εἰς τὸ Βυζάντιον ἔπεμψεν Ἀναστασίῳ τῷ βασιλεῖ. Ἀναστάσιος δὲ ἱππικὸν ἐπιτελέσας τὰς κεφαλὰς τῶν τυράννων καὶ τοὺς πεμφθέντας δεσμίους τῶν Ἰσαύρων ἐθριάμβευσεν, καὶ ἐπὶ σκολόπων ἐν Συκαῖς[55] ταύτας ἀναρτήσας, πᾶσιν ἐδημοσίευσεν. Τὰ δὲ πλήθη[56] τῶν Ἰσαύρων εἰς τὴν Θρᾴκην[57] μετῴκισεν. Ἰωάννην δὲ τὸν Σκύθην καὶ τὸν ἕτερον Ἰωάννην τὸν Κυρτὸν ὑπατίας καὶ τιμῆς μεγάλης ἠξίωσεν· Εὐθυμίῳ δὲ τῷ ἐπισκόπῳ (71) ἐδήλωσεν δι' Εὐσεβίου μαγίστρου· *Αἱ εὐχαί σου, ὦ μέγα*[58], *τοὺς φίλους σου ἠσβόλωσαν*. Συναγαγὼν δὲ ὁ βασιλεὺς τοὺς ἐνδημοῦντας ἐπισκόπους κατὰ B Εὐθυμίου ἐνεκάλει, οἳ καὶ[59] χαριζόμενοι τῷ βασιλεῖ ἀκοινωνησίαν καὶ καθαίρεσιν αὐτοῦ ἐψηφίζοντο. Προχειρίζεται δὲ ὁ βασιλεὺς Μακεδόνιον ἐπίσκοπον Κωνσταντινουπόλεως σκευοφύλακα ὄντα. Ὁ μέντοι λαὸς διὰ τὸν Εὐθύμιον ἐστασίαζον[60], καὶ εἰς τὸ ἱπποδρόμιον ἔδραμον λιτανεύοντες, ἀλλ' οὐδὲν ὠνῆσαι ἴσχυσαν, τοῦ βασιλέως κακῶς νικᾷν[61] σπεύδοντος. Μακεδόνιος δὲ κακῶς πεισθεὶς Ἀναστασίῳ, ὑπέγραψεν τῷ Ἑνωτικῷ Ζήνωνος.

dionem tandem Longinum exmagistrum et Longinum Seleuntium atque Athenodorum cæterosque tyrannos cepit et gladio feriit eorumque capita Byzantium Anastasio imperatori misit: qui ludum equestrem celebrans, tyrannorum capita et Isauros, qui missi fuerant, vinctos in triumphi morem circumduxit, ac tandem præfata capita palis affixa publice exposuit in Sycis: Isaurorum autem multitudinem in Thraciam migrare adegit: Joannem Scytham et alterum Joannem Cyrtum consulatus dignitate et aliis honoribus auxit, ac tandem Euthymio episcopo per Eusebium magistrum significavit: *Preces tuæ, o venerande, amicos tuos infecerunt fuligine*. Apud coactos enim Cpoli episcopos de Euthymio conquerebatur imperator: qui in imperatoris gratiam ipsius interdictum et abdicationem tum a communione, tum a munere, suis suffragiis comprobarunt: in cujus locum Macedonium, qui jam sacrorum vasorum custos erat, Cpoli episcopum designavit imperator. Populus autem Euthymii causa tumultuabatur atque in circum pub'ica supplicatione acta procedebat: at nihil exinde proficere valuit, imperatore causam hanc evincere impotentius exoptante. Macedonius autem male ab Anastasio persuasus Zenonis concordiæ subscripsit.

A. M. 5989.— *Κωνσταντινουπόλεως ἐπισκόπου Μακεδονίου ἔτος α'.*

Τούτῳ τῷ ἔτει Εὐθύμιον Ἀναστάσιος εἰς Εὐχάϊταν ἐξώρισεν[62]. Ὁ δὲ λόγον ᾔτησε διὰ Μακεδονίου λαβεῖν, ἀνεπιβούλευτον μεῖναι ἐν τῷ ἀπάγεσθαι[63]. C Ἐπιτραπεὶς δὲ Μακεδόνιος δοῦναι τὸν λόγον, εἰσερχόμενος ἐν τῷ βαπτιστηρίῳ πρὸς τὸν Εὐθύμιον ἀφελεῖν ἀπ' αὐτοῦ τὸ ὠμόφορον τῷ ἀρχιδιακόνῳ προσέταξεν, καὶ οὕτω λιτὸς[64] πρὸς Εὐθύμιον εἰσελθὼν, δανεισάμενός[65] τε χρήματα δέδωκεν Εὐθυμίῳ, ὡς[66] παρὰ πολλῶν ἐπαινεθῆναι κατὰ τοὺς δύο τρόπους. Ἀσκητικὸς γὰρ ἦν καὶ ἱερὸς, ὡς ὑπὸ[67] Γενναδίου τραφεὶς, οὗ καὶ ἀδελφιδοῦς[68] ὑπῆρχεν.

A. C. 489. — *Cpolis episcopi Macedonii annus primus.*

Hoc anno Anastasius Euthymium Euchaitam exsulem misit. Ille fidem sibi dari per Macedonium **121** postulavit, ut insidiarum securus, dum deduceretur, in itinere maneret. Macedonius fidem obstringere permissus, Euthymium in baptisterio adiit, archidiacono a suis humeris pallium auferre prius jusso: atque privato sacerdotis habitu Euthymium conveniens, pecunias mutuo ab aliis acceptas elargitus est illi: adeo ut ex utroque capite non minimam a plerisque laudem reportaret. Virtutem quippe pietatisque jura, tanquam a Gennadio, cujus nepos erat, educatus colebat.

Τῷ δ' αὐτῷ ἔτει Ἀθανασίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας τελευτήσαντος, ἐχειροτονήθη Ἰωάννης ὁ Μοναξῶν[69], πρεσβύτερος καὶ οἰκονόμος, ὁ ἐπίκλην Ἡμοῦλα.

Hoc eodem anno Anastasio Alexandrino præsule mortuo, presbyter et œconomus Joannes Monaxo, cognomento Hemula, in ejus locum sacra ordinatione suffectus est.

A. M. 5990. — *Ῥώμης ἐπισκόπου Ἀναστασίου ἔτος α'.* D

Ἀλεξανδρείας Ἰωάννου ἔτος α.

Τούτῳ τῷ ἔτει ἐπιδρομῆς τῶν λεγομένων Σκηνητῶν[70] (72) Ἀράβων ἐν Εὐφρατησίᾳ γενομένης ἐν

A. C. 490. — *Romanorum episcopi Anastasii annus primus.*

Alexandriæ Joannis annus primus.

Hoc anno Arabes, Scenitas dictos, crebris excursionibus Euphratesiam infestantes, Eugenius re-

VARIÆ LECTIONES.

[55] ἐπὶ σκολόπων (σκωλώπων Par.) ἐν Συκαῖς] ἐπὶ σκύθας A e f. [56] τὰ δὲ πλήθη A f, τὸ δὲ πλῆθος vulg. [57] εἰς τὴν Θρᾴκην A, ἐν τῇ Θρᾴκῃ vulg. [58] ὁ μέγας A. [59] οἳ καὶ A, οἱ δὲ vulg. [60] ἐστασίαζεν A. [61] νικᾷν A, νικῆσαι vulg. [62] ἐξώρισεν A a f. ἐξόριστον ἀπέστειλεν vulg. [63] ἀγαπᾶσθαι A. [64] λιτῶς A. [65] δανεισάμενος A, δανειζόμενος vulg. [66] ὡς] ἦν A. [67] ὑπὸ A, ἀπὸ vulg. [68] ἀδελφὸς A. [69] ὁ Μοναξῶν A, ὀνομαζόμενος vulg. [70] Σκηνητῶν A alii, Σκηνιτῶν vulg.

JAC. GOARI NOTÆ.

(71) Marcellinus ad annum Anastasii quintum: *Euphemius episcopus CP. falso ab Anastasio principe accusatus, atque damnatus, in exsilium ductus est*. Theodorus Lector in reliquis consulendus.

(72) Σκηνήτας vocavit superius Saracenos. Eorum motum breviter perstringit Evagrius, lib. III, cap. 36. *Arabes*, scribit Ecchellensis *Histor. Arab.* pag. 150, « in cives, sive civitatum incolas discriminantur, et in eos qui per deserta perpetuo vagantur loca nullis certis sedibus, sed sua tentoria ibi figunt, ubi res et necessitas postulant, pabula suis quæritantes armentis [illegible] nitas appella[illegible]

gionum illarum præfectus, vir litteris et fortitudine præstans, adversus eos ad primum Syriæ oppidum, cui Bithrapsus nomen, consertis manibus prælio superior remansit. Qui fuere devicti, prius cum Persis, tribus nimirum Naamani phylarchi, fœdus inierant. Tum vero Romanus exercitus per Palæstinam ductor, vir consilio militari et disciplina præcellens, Agarum Arethæ, qui Thalabanes filius audiebat, natum cum magna captivorum multitudine bello vicit cepitque. Alium porro Scenitam nomine Gamalum ante susceptam expeditionem hujusmodi totam Palæstinam suis excursionibus vastantem Romanus idem prostraverat et verterat in fugam. Sed et Iotaben insulam (a) in sinu maris Rubri sitam, vectigalia magna Romanorum imperatori quondam pendentem, tum vero ab Arabibus Scenitis occupatam, idem Romanus per acerrima prælia iterum liberam Romanis negotiatoribus præstitit: eisque demum insulam concessit, in qua liberi suisque legibus utentes habitarent et ex mercibus ex India convectis constitutum imperatori vectigal solverent.

A. C. 491. — **122** Hoc anno Macedonius imperatoris consilio monasteria urbis a præcipuæ Ecclesiæ communione ob Zenonis concordiæ sanctionem se dirimentia studuit reconciliare. At cum propositum non posset exsequi, de convocandis in unum per urbem peregrinantibus episcopis, deque scripto firmandis, quæ Chalcedonensis synodus recte decreverat, imperatori auctor fuit: quod per actum scripturæ consignatum postea factum est. Adhortabatur subinde ad pacem et concordiam monasteria, Dii maxime et Bassiani et Insomnium atque Matronæ, quæ ab iis, qui unionis sanctionem admiserant, cœtus ecclesiasticos separatim agere proposuerant, aut potius exsilia quæque sponte et alacriter tolerare. Illis igitur in arrepto semel consilio constanter perseverantibus, illos potius suæ concedere voluntati decrevit Macedonius, quam duriorem in eos ciere persecutionem. Porro Matrona sancta inter vivos adhuc superstes, nec

A Βιθράψῳ[71] καλουμένῳ χωρίῳ πρώτῳ τῆς Συρίας, Εὐγενίου στρατηγοῦ τῶν ἐκεῖσε κατ' αὐτῶν παραταξαμένου, ἀνδρὸς ἔργῳ καὶ λόγῳ σπουδαίου, ἐκράτησε τῆς μάχης. Οἱ δὲ νικηθέντες Περσῶν ὑπόσπονδοι ἦσαν τῆς Ναάμάνου τοῦ φυλάρχου (73) φυλῆς. Τότε καὶ Ῥωμανὸς τῆς ἐν Παλαιστίνῃ δυνάμεως ἄρχων, ἀνὴρ ἄριστος ἐν βουλῇ καὶ στρατηγίᾳ, χειροῦται εἰς πόλεμον Ἄγαρον (74) τὸν τοῦ Ἀρέθα τοῦ τῆς Θαλαβάνης[72] ὀνομαζομένου παιδὸς σὺν αἰχμαλώτων πλήθει πολλῷ. Κατηγωνίσατο δὲ καὶ ἐφυγάδευσε πρὸ τῆς μάχης ἐκείνης ὁ Ῥωμανὸς καὶ ἕτερον Σκηνήτην, Γάμαλον[73] ὀνόματι, καταδραμόντα τὴν Παλαιστίνην πρὸ τῆς αὐτοῦ παρουσίας. Τότε καὶ Ἰωτάβην τὴν νῆσον κειμένην ἐν τῷ κόλπῳ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ ὑποτελῆ φόροις οὐκ ὀλίγοις ὑπάρχουσαν B βασιλεῖ Ῥωμαίων, κατασχεθεῖσαν δὲ μεταξὺ ὑπὸ τῶν Σκηνητῶν Ἀράβων, μάχαις ἰσχυραῖς ὁ Ῥωμανὸς ἠλευθέρωσεν, αὖθις Ῥωμαίοις πραγματευταῖς δοὺς αὐτονόμως οἰκεῖν τὴν νῆσον καὶ τὰ ἐξ Ἰνδῶν ἐκπορεύεσθαι φορτία, καὶ τὸν τεταγμένον βασιλεῖ φόρον εἰσάγειν.

A. M. 5991. — Τούτῳ τῷ ἔτει Μακεδόνιος γνώμῃ τοῦ βασιλέως ἑνῶσαι τὰ μοναστήρια τῆς βασιλίδος ἔσπευδεν ἀποσχίζοντα διὰ τὸ Ἑνωτικὸν Ζήνωνος. Ἀδυνατῶν δὲ τοῦτο ποιῆσαι, συνεβούλευσε τῷ βασιλεῖ τοὺς ἐνδημοῦντας ἐπισκόπους συνελθεῖν (75) καὶ τὰ ἐν Χαλκηδόνι καλῶς δογματισθέντα ἐγγράφως βεβαιῶσαι, ὅπερ καὶ γέγονεν δι' ἐγγράφου πράξεως. Καὶ προέτρεπε τὰ μοναστήρια πρὸς ἕνωσιν, μάλιστα C δὲ τὴν Δίου μονὴν καὶ Βασσιανοῦ καὶ τῶν Ἀκοιμήτων καὶ Ματρώνης (76), ἅτινα μᾶλλον καὶ ἀπέσχιζον τῶν δεχομένων τὸ Ἑνωτικὸν Ζήνωνος καὶ ἐξορίας προθύμως ὑπέμενον. Ἐνστάντων οὖν αὐτῶν συνῆκεν Μακεδόνιος τῇ προαιρέσει αὐτῶν καταλιπεῖν αὐτοὺς ἢ διωγμὸν ἐγεῖραι κατ' αὐτῶν. Ματρώνα δὲ ἡ ὁσία ἔτι ζῶσα καὶ μὴ κοινωνοῦσα σὺν ταῖς σὺν αὐτῇ ἀσκητρίαις διὰ τὸ Ἑνωτικὸν[74] Ζήνωνος, παράδοξα πολλὰ ἐνεδείξατο, Χρυσαορίου διακόνου τῆς ἐκκλησίας αὐτὴν ἀναγκάζοντος. Καὶ ἄλλη δέ τις Σοφία καλουμένη ἐπίσημος ἐν μοναζούσαις πολλὰ πα-

VARIÆ LECTIONES.

[71] Βιθραψᾷ A. [72] Φαλαβάνης B f, Χαλαβάνης a, Θαλαμάνης e. [73] Γαβάλανον b, Γαμάλανον a. [74] τὸ ἐν. A, τὸν ἐν. vulg.

JAC. GOARI NOTÆ.

(73) Τῆς χώρας δυνάστην, *regionis principem*, τὸν φυλάρχην exponit Suidas. Ὅτι τὰ χωρία αὐτῶν φυλαὶ ὀνομάζονται· *quod eorum vici et oppida tribus nominentur.*

(74) Hunc sub Acbari nomine mihi Suidas innuit, et Osrhoenæ regionis principem facit v. φύλαρχης. Agarum alium isto longe priorem celebrat nuper citatus Ecchellensis, a quo Agaritarum cognatio φυλὴ Theophani nostro dicta, de quo pag. 156. Arabes porro in *indigenas* et *advenas* discriminatos, illos antiquissimos Noe patriarchæ nepotes, Jectan nimirum et Heber filios, qui primi Arabiam occupavere: istos autem, qui generis auctorem agnoscunt Ismaelem Abrahæ filium, vocaverunt. Utrique ut posteros habuere nobiliores, qui stirpium variarum et familiarum se constituere capita, ita se *tribuum suarum principes* declaravere: *Genes.* cap. xxv. Tribus illas diversas, velut acies sub tot du- D cibus accurate perstringit laudatus Ecchellensis typis regiis anno 1651 editus a pag. 141 ad 161. Circa Scenitas et vagos Arabes hoc unum, quod huc confert, ex eodem observo. « Adversus gagantes » et effrenes « Arabes in silicibus, marmoribusque Romana lingua et characteribus insculpta hactenus videri Romanorum imperatorum edicta, quibus sub variis pœnis inhibetur, ne vagam illam, errantem incertamque agant imposterum vitam. » Variæ lectiones hic non leviter prætereundæ.

(75) Antiqua consuetudo in utraque Ecclesia quondam observata, ut ex ἐνδημούντων, casu in urbem, sive Romam sive CP. adventantium collegio synodus haberetur, etiam hodie apud Græcos retenta.

(76) De Dii tempore et monasterio ad p. 114. De Bassiani ædibus Menologium Sirleti; de Bassiano et ædium ejus nominis fundatore Menæum ad

(a) Vide *Acta SS.* tom. X Octobris, p. 683, 687.

ύσῦσα[75] μεγάλην ὑπομονὴν ἐνεδείξατο. Θευδέριχος δὲ ὁ Ἄφρος (77) διάκονον ἔχων ὀρθόδοξον (78) πάνυ ἀγαπώμενον ὑπ' αὐτοῦ, μεταθέμενον δὲ εἰς Ἀρειανισμὸν χαριζόμενον Θευδερίχῳ Ἀρειανίζοντι, ἀπέτεμεν αὐτὸν ξίφει εἰπών· *Εἰ τῷ Θεῷ τὴν[76] πίστιν οὐκ ἐφύλαξας, οὐδὲ[77] ἐμοὶ φυλάξεις*. Παλλαδίου δὲ τοῦ ἐπισκόπου (79) Ἀντιοχείας τελευτήσαντος, Φλαβιανὸν πρεσβύτερον καὶ ἀποκρισιάριον τῆς Ἐκκλησίας Ἀντιοχέων ὁ βασιλεὺς ἐψηφίσατο. Φασὶ δὲ Φλαβιανὸν τοῖς ἐν Χαλκηδόνι δόγμασιν ἀντικεῖσθαι. Ὀλύμπιος δέ τις Ἀρειανὸς (80) ἐν τῷ Ἑλενιανῶν[78] βαλανείῳ λουόμενος[79], δεινῶς βλασφημήσας[80], ἐλεεινῶς ἐν τῇ νεροφόρῳ (81) τέθνηκεν· ὅπερ ἐν εἰκόνι ἐγράφη. Εὐτυχιανὸς δέ τις πρῶτος τῶν διαιταρίων (82) δώροις πεισθεὶς[81] ὑπὸ τῶν Ἀρειανῶν, τὴν ἀνατεθεῖσαν εἰκόνα τοῦ Ὀλυμπίου καθεῖλεν· καὶ ἐξετάκη δεινῶς τὸ σῶμα αὐτοῦ[82] ἀπὸ τῆς ἡμέρας ἐκείνης, καὶ ἀπέθανεν.

tamen cæteris feminis parem religiosæ vitæ normam observantibus, ob Zenonis sanctionem communionis impendens consortium, multa vel supra humanam fidem fortiter aggressa est et tulit, dum Chrysaorius ecclesiæ diaconus illam vi cogere vellet. Altera pariter nomine Sophia inter moniales scientiarum cultu insignis multa passa, eximiam prorsus constantiam exhibuit. Theuderichus autem Afer cum diaconum haberet sibi admodum charum, qui Theuderichum dominum Arianas partes tuentem sibi cuperet promereri, Arii quoque doctrinam fuerat amplexus, gladio caput ejus abscidit, dicens; *Si Deo fidem non servasti: nec usque mihi servaveris*. Cæterum Palladio Antiochiæ præsule defuncto, imperator Flavianum presbyterum et ejusdem ecclesiæ missum in mortui locum designavit: Flavianum hunc Chalcedonensibus decretis mentem oppositam tenuisse narrant. Olympius vero quidam cum in Helenianorum balneo inter lavandum impias omnino blasphemias evomuisset, in ipso aquæ labro perditam animam miserum in modum efflavit: quod portentum in pictam imaginem relatum fuit. Eutychianus porro quidam diætariorum princeps, muneribus ab Arianis corruptus, cum appensam Olympii deposuisset imaginem, toto corpore ab illo die funeste extabuit et periit.

A. M. 5992. — *Ἱεροσολύμων ἐπισκόπου Ἡλία ἔτος α'.*

Ἀντιοχείας Φλαβιανοῦ ἔτος α.

Τούτῳ τῷ ἔτει Φῆστος συγκλητικὸς, Ῥώμης ἀποσταλεὶς πρὸς Ἀναστάσιον διά τινας χρείας πολιτικὰς, τὰς μνήμας τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου πανηγυρικώτερον ἐπιτελεῖσθαι ᾐτήσατο (83), ὃ καὶ κρατεῖ μέχρι νῦν. Μακεδόνιος δὲ πρὸς Ἀναστάσιον ἐπίσκοπον Ῥώμης συνοδικὸν διὰ Φήστου πέμψαι βουληθεὶς ἐκωλύθη παρὰ τοῦ βασιλέως.

A. C. 492. — *Hierosolymorum episcopi Heliæ annus primus.*

Antiochiæ Flaviani annus primus.

123 Hoc anno Festus senator Romanus ob publica quædam negotia Cpolim ad Anastasium Roma missus sanctorum apostolorum Petri et Pauli memoriam majori frequentia et solemnitate celebrari postulavit: quod in hunc usque diem obtinuit. Macedonius autem synodicam epistolam per Festi manus ad Anastasium Romanorum episcopum mittere meditatus ab imperatore prohibitus est.

A. M. 5993. — Τούτῳ τῷ ἔτει Φῆστος ἀπερχόμενος (84) ἐν Ῥώμῃ συνέθετο τῷ βασιλεῖ Ἀναστασίῳ πείθειν Ἀναστάσιον τὸν πάππαν δέξασθαι τὸ Ἑνωτικὸν Ζήνωνος. Τοῦτον δὲ οὐ κατέλαβε ζῶντα. Ὑπο-

A. C. 493. — Hoc anno Festus Romam abiturus Anastasium papam, ut Zenonis concordiam probaret, se verbis effecturum Anastasio imperatori pollicitus est: cum vero non amplius vivum com-

VARIÆ LECTIONES.

[75] παθοῦσα A, μαθοῦσα vulg. [76] τὴν add. ex A. [77] οὐδὲ A, οὐκ vulg. [78] Ἐλιανῶν A. [79] λουόμενος add. ex A. [80] βλασφημήσας A, βλασφημίας vulg. [81] πλησθεὶς A. [82] αὐτοῦ add. ex A.

JAC. GOARI NOTÆ.

Celebris diem 10: Ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ τοῦ εὐσεβεστάτου ἦλθεν ἐν ΚΠ., καὶ τοσοῦτον διέλαμψεν ἀρεταῖς καὶ θαύμασιν, ὡς καὶ ναὸν κτίσαι ἐπ' ὀνόματι αὐτοῦ τὸν βασιλέα· *Sub Marciani piissimi imperio CP. venit, tantumque virtutibus et miraculis claruit, ut ejus nomine templum imperator exstrueret*. Discipulorum numero Matronam aggregatam memorat idem Menæum: Ἐπληθύνθη δὲ ὁ ἀριθμὸς τῶν μαθητῶν αὐτοῦ ὡς εἰς τριακοσίους· ἐξ ὧν ἦν καὶ ἡ ἁγία Ματρώνα· *Discipulorum ejus numerus ad 300 crevit: ex quibus S. Matrona exstitit.*

(77) Ex Theodori Lectoris lib. II.

(78) Suadet tota series ut intelligatur minister profanus in aula, seu domo Theuderici merens, qui sic dominum fide prodita studuerit demereri; non ut ecclesiæ diaconus, ac sacer minister, quod alterum vocavit Theophanes ante paucas lineas, forte ut ab hoc distingueret: quem et illi ministrum ad turpia indicat Nicephorus. Ejus plura Petrus magister in Legat. COMBEFIS.

(79) Evagrius lib. III, cap. 23.

(80) Prodigium lectu dignum a Damasceno, orat. 3 de imaginibus, scriptum.

(81) Δεξαμενὴν habet Damascenus citatus, quæ est *balnei lavacrum*, seu vas quodcunque aquis recipiendis idoneum. Aquam porro Græcorum vulgus νερὸν hodie vocat: olim quoque sic dictam puto, quod aquarum Nymphæ Νηρηΐδες quasi *Aquatiles* audirent.

(82) Helenianorum palatii ad quod balneum curator, et balnei præfectus a Damasceni interprete redditur.

(83) Theodorus Lector, ex quo ista, subjungit: Ἐπιτελουμένης δὲ καὶ πρότερον, πλὴν ἐξ αἰτήσεως Φήστου πολλῷ πλέον ηὐξύνθη τῆς τοιαύτης τὸ φαιδρὸν πανηγύρεως· *Quamvis antea festum apostolorum celebraretur, tamen studio Festi, multo amplius et splendidius panegyris illa celebrari cœpit.*

(84) Ipsis pene verbis cum Theodoro consentit Theophanes.

perit. Quare plerisque pecuniarum vi corruptis, Laurentium quemdam, præter Romanorum jura, promoveri curavit episcopum, qui etiam sacra initiatus est ordinatione ab adversantium sibi parte altera. Qui rectiorem tuebantur fidem, ab eis divisi Symmachum e diaconorum grege quemdam in pontificem consecrant: unde deinceps tumultus, cædes, rapinæ urbem triennio divexarunt; donec Theuderichus Afer Roma potitus, licet Arianorum infectus labe, provincialem synodum coegit, et Symmacho in episcopum Romanum confirmato, Laurentium Nuceriæ præsulem instituit. Laurentius quietis impatiens et ciens tumultus, a Symmacho dignitate movetur mittiturque in exsilium: ex quo tempestas omnis sedata.

A φθείρας δὲ διὰ χρημάτων πολλοὺς, ψηφίζεται παρὰ τὸ ἔθος Ῥωμαίων ἐπίσκοπον Λαυρέντιόν τινα, ὃς καὶ ἐχειροτονήθη ὑπὸ ἑνὸς[83] μέρους. Οἱ δὲ ὀρθοδοξότεροι[84] διαιρεθέντες χειροτονοῦσι Σύμμαχον ἕνα ὄντα τῶν διακόνων. Ἔνθεν λοιπὸν ἀταξίαι πολλαὶ καὶ φόνοι καὶ ἁρπαγαὶ γεγόνασιν ἐπὶ τρία ἔτη, ἕως οὗ Θευδέριχος ὁ Ἄφρος κρατῶν τηνικαῦτα Ῥώμης, καίπερ Ἀρειανὸς ὢν, σύνοδον κροτήσας τοπικὴν[85], Σύμμαχον μὲν ἐπίσκοπον Ῥώμης ἐκύρωσε, Λαυρέντιον δὲ εἰς Νοχέρειαν τὴν πόλιν ἐπίσκοπον[86] προσέταξεν (85). Ὁ δὲ μὴ ἡσυχάσας, ἀλλὰ στάσεις κινῶν ὑπὸ Συμμάχου καθαιρεῖται καὶ εἰς ἐξορίαν πέμπεται. Καὶ οὕτω κατεπαύθη ἡ στάσις.

Hoc etiam anno chrysargyrum tributum et venationes sive pugnas cum bestiis publicas Anastasius abolevit: et magistratus, qui antea venales erant, gratis contulit.

B Τῷ δ' αὐτῷ ἔτει Ἀναστάσιος ἀνέστειλεν τὸν χρυσάργυρον (86) καὶ τὰ κυνήγια (87), καὶ τὰς ἀρχὰς ὠνίους[87] (88) οὔσας δωρεὰν προεβάλλετο.

A. C. 494. — *Romæ episcopi Symmachi annus primus.*

Hoc anno per Phœniciam et Syriam post Agari mortem novas excursiones fecere Saraceni, Badicharimo ejus fratre turbinis instar incurrente, sed et multo celerius, quam incurrisset, post partam prædam iterum recurrente, adeo ut Romanus, qui eos insequebatur, nusquam assequi valuerit.

A. M. 5994. — *Ῥώμης ἐπισκόπου Συμμάχου ἔτος α'.*

Τούτῳ τῷ ἔτει γέγονε πάλιν Σαρακηνῶν ἐπιδρομὴ ἐν τῇ Φοινίκῃ καὶ Συρίᾳ[88] μετὰ τὴν Ἀγάρου τελευτὴν (89), Βαδιχαρίμου τοῦ ἀδελφοῦ αὐτοῦ δίκην θυέλλης ἐπιδραμόντος τοῖς τόποις, καὶ ὀξύτερον[89], ἥπερ ἐπέδραμεν[89*] μετὰ τὴν λείαν ἐπαναδραμόντος, ὥστε ἐπιδιώξαντα[90] Ῥωμανὸν μὴ καταλαβεῖν[91] τοὺς ἐχθρούς.

VARIÆ LECTIONES.

[83] ὑπὸ ἑνὸς A, ὑπὸ τοῦ ἑνὸς vulg. [84] ὀρθόδοξοι A. [85] τοπικὴν A, τοπικὸν vulg. [86] ἐπισκοπεῖν b, om. A. [87] τὰς ἀρχὰς ὠνίους A b, ἀρχιωνίους vulg. [88] καὶ Παλαιστίνῃ post Συρίᾳ add. b. [89] καὶ ὀξύτερον add. ex A et aliis; vulgo lacuna notata erat: ἥπερ correxi pro vulg. εἴπερ. [89*] ἐπαναδραμόντος b, ἐπιδραμόντος vulg. [90] ὥστε ἐπιδ. A, ὥστε μηδὲ ἐπιδ. vulg. [91] μὴ καταλαβεῖν A, καταβαλεῖν vulg.

JAC. GOARI NOTÆ.

C (85) Anast. *episcopum locare præcipit:* adeoque desit vox aliqua, quam ille legerit, puta ἐνθρονίζειν, καθίστασθαι. COMBEFIS.

(86) Tributum auro promiscue et argento pendi solitum, fuit χρυσάργυρον. Aurum enim solum nonnunquam, quandoque solum argentum imperatur. Χρυσάργυρον capitibus singulis hominum, jumentorum, pecorum, neque canum etiam exceptis, erat impositum: imo ab exoletis, data criminum fœdissimorum licentia, capiebatur. De ejus exsecranda impositione Zonaras, et Cedrenus abunde; auctorem Constantinum fingit Zosimus: ab illata injuria Christianissimum principem vindicat Evagrius totis duobus capitibus lib. III, 40 nimirum et 41, relata prius 39, Anastasii jussu ejusdem abrogatione: de quibus Baronius anno C. 320 a num. 33 ad 48, et an. 491 num. 11 et 12.

(87) Theodorus citatus, τὰ κυνήγια ἔπαυσεν. Truculentas et horrendas circi venationes, quibus bestiarii cum feris certissimo vitæ periculo pugnas inibant, Anastasium compescuisse intellige. Venandi enim exercitium, ut fit per silvas, laude dignum abolevisse, in Anastasii principis laudem nemo cordatus morum censor verteret. Κυνήγιον porro, unde cum bestiis pugnam affirmem, auctoritates istæ suggerunt. Suidæ v. Κυνήγιον· Ἐν τῷ κυνηγίῳ, scribit, ἐῤῥίπτοῦντο οἱ βιαιοθάνατοι· *In amphitheatro violenta morte occisorum projiciebantur corpora:* ut nimirum qui sibi manus consciscerent βιαιοθάνατοι, gladiatoribus et bestiariis mortem in se concitantibus, post ademptum vitæ lumen, sociarentur. Infra: Θαύμαζε, ὅτι ὁ κτίσας τὸ κυνήγιόν ἐστι· *Adverte ipsum amphitheatri conditorem esse.* Certe venatus locus haud in silvis exstruitur, nec statuis et columnis, de quibus ibi mentio, exornatur, nisi in circo, vel spectaculorum spatio deputato. Theophanis supra ad an. 5870: Δωρόθεος ὁ ἐν ἁγίοις ἐπὶ τοῦ δυσσεβοῦς Οὐάλεντος ἐμαρτύρησεν ἐν Ἀλεξανδρείᾳ θηρίοις παραδοθεὶς ἐν τῷ κυνηγίῳ ὑπὸ Ἀρειανῶν· *Sanctus Dorotheus sub impii Valentis imperio martyrium Alexandriæ tulit, ab Arianis in amphitheatro feris objectus.* Ejusdem ad annum 5935: Χαρμόσυνος ὁ Αὐγουστάλιος ἐν Ἀλεξανδρείᾳ ἐκροταφίσθη ἐν κυνηγίῳ· *Charmosynus præfectus Augustalis in amphitheatro in tempore percussus est.* Suidæ iterum v. Κυνηγός, et v. Ἄρατος: Τινὲς μὲν γὰρ ἐν ταῖς κυνηγεσίαις εἰσὶ τολμηροὶ πρὸς τὰς τῶν θηρίων συγκατασπάσεις· οἱ δ' αὐτοὶ πρὸς ὅπλα καὶ πολεμίους ἀγεννεῖς· *Quidam ad discerpendas in bestiariis venationibus feras audaces exsistunt, qui sub armis adversariis objecti imbelles apparuerunt.* Mirumne foret in insequendis D per saltus leporibus et cervis cujuspiam animum laudari? Adeone cruentum et inhumanum solitæ venationis studium, ut ab imperatore Chrysargyrum exstinguente, mereretur exstingui? Vetandas itaque censuit Anastasius feras, et immanes cum feris circi pugnas, quas Romæ adhuc exercitas eodem tempore coætaneus Theodorichus deflet his verbis, epist. 42 Variarum Cassiodori lib. V: « Heu mundi error dolendus! si esset ullus æquitatis intuitus, tantæ divitiæ pro vita mortalium deberent dari, quantæ in mortes hominum videntur effundi. »

(88) In proposito non stetisse Theodoro et Theophani contrarius Suidas testatur v. Ἀναστάσιος.

(89) Hanc Barbarorum incursionem, ut aliam annis tribus priorem perstringit Evagrius lib. III, cap. 36.

Τούτῳ τῷ ἔτει καὶ οἱ καλούμενοι Βούλγαροι [92] (90) A τῷ Ἰλλυρικῷ καὶ Θρᾴκῃ ἐπιτρέχουσι πρὶν γνωσθῆναι αὐτούς.

A. M. 5995. — *Ἱεροσολύμων ἐπισκόπου Σαλουστίου ἔτος α'.*

Τούτῳ τῷ ἔτει σπένδεται πρὸς Ἀρέθαν (91) ὁ Ἀναστάσιος, τὸν Βαδιχαρίμου καὶ Ἀγάρου πατέρα, τὸν τῆς Θαλαβάνης λεγόμενον, καὶ λοιπὸν πᾶσα ἡ Παλαιστίνη καὶ Ἀραβία καὶ Φοινίκη πολλῆς γαλήνης καὶ εἰρήνης ἀπήλαυον. Ἐν Νεοκαισαρείᾳ (92) δὲ μέλλοντος γίνεσθαι σεισμοῦ, στρατιώτης ὁδεύων ὡς δύο στρατιώτας ἐπ' αὐτὴν εἶδεν καὶ ὄπισθεν ἄλλον κράζοντα· *Φυλάξατε τὸν οἶκον, ἐν ᾧ ἡ θήκη Γρηγορίου ἐστίν.* Γενομένου δὲ σειμοῦ, τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπτώθη, πλὴν τοῦ [93] Ἁγίου [94] Γρηγορίου. B

A. M. 5996. — Τούτῳ τῷ ἔτει Καβάδης ὁ τῶν Περσῶν βασιλεὺς (93) χρήματα ἀπῄτει Ἀναστάσιον. Ὁ δὲ Ἀναστάσιος [95], εἰ μὲν δανείσασθαι βούλοιτο, ἔγγραφον ὁμολογίαν ἔλεγεν ποιῆσαι, εἰ δὲ ἄλλῳ τρόπῳ, μὴ διδόναι. Ὅθεν παρασπονδήσας γενομένην πρὸς Θεοδόσιον τὸν νέον ἔμπροσθεν εἰρήνην, ἐπέρχεται μετὰ πλήθους πολλοῦ Περσικοῦ τε καὶ ἐπεισάκτου, πρότερον μὲν εἰς Ἀρμενίαν, καὶ λαμβάνει Θεοδοσιούπολιν, Κωνσταντίνου προδόντος αὐτήν, ἀνδρὸς συγκλητικοῦ τε καὶ Ἰλλυρίων ἄρξαντος τάγματος. Εἶτα εἰς Μεσοποταμίαν ἐλθών, Ἄμιδαν ἐπολιόρκει, Ῥωμαϊκοῦ στρατεύματος ἀξιολόγου μήπω [96] τοῖς τόποις ἐνδημοῦντος, Ἀλυπίου δὲ μόνου βοήθειαν ἔχοντος ὀλίγην, ἀνδρὸς πανταχόθεν ἐπαινετοῦ καὶ φιλοσοφίας ἐραστοῦ, μάλιστα τὴν ἐνδεχομένην [97] περί C τε τὴν φυλακὴν τῶν πόλεων καὶ τὰ ἀπόθετα τῶν τροφῶν ἐπιμέλειαν ποιουμένου. Ὤκει δὲ ἐκτὸς [98] Κωνσταντίνης, σταδίους [99] νζ' κατὰ δύσιν ἀφεστώσης Νισίβης [1], καὶ Ἄμιδα πρὸς ἄρκτον. Ἀλλὰ χρόνου τινὸς μεταξὺ ῥεύσαντος, καί τινων μερικῶν συμπλοκῶν Πέρσαις τε καὶ Ῥωμαίοις γενομένων, καθ' ἃς ποτὲ μὲν ἐλάττους, ποτὲ δὲ ἐπικρατέστεροι τῶν ἐθνῶν ἐν διαφόροις γεγόνασιν οἱ Ῥωμαῖοι· τέλος Ἄμιδαν προδίδωσί τις [2] τοῖς Πέρσαις, πολιορκηθεῖσαν μὲν ὑπὲρ τοὺς τρεῖς μῆνας παρὰ τῶν [3] Βαρβάρων, προδοθεῖσαν δὲ νύκτωρ ἐξ ἑνὸς τῶν πύργων ὑπὸ μοναχῶν φυλαττομένου [4], κλίμαξιν [5] οἱ πολέμιοι χρησά- D

A Hoc etiam anno qui vocantur Bulgari excursionem in Illyricum et Thraciam fecerunt, cum nondum eorum natio audiretur de nomine.

A. C. 495. — *Hierosolymorum episcopi Salustii annus primus.*

124 Hoc anno Anastasius cum Aretha, qui Thalabanes filius audiebat, et Badicharimi nec non Agari pater, fœdus percussit, ac ita deinceps Palæstina omnis, Arabia et Phœnicia profunda tranquillitate et pace fruebantur. Neocæsareæ vero cum terræ motus jamjam esset futurus, miles quidam agens iter tanquam duos milites civitati videt imminentes aliumque a tergo clamantem : *Servate domum, in qua Gregorii loculus.* Moxque insecuto terræ motu urbis pars plurima B corruit, præter Sancti Gregorii templum.

A. C. 496. — Hoc anno Cabades Persarum rex pecunias exigebat ab Anastasio. Anastasius cautionem scribere jussit, si modo mutuum accipere vellet : alioqui se nullas daturum. Ex quo pacis quondam cum Theodosio juniore firmatæ violatis fœderibus, cum magno Persarum atque auxiliarium exercitu primum quidem in Armeniam irrumpit et Theodosiopolim, Constantino senatorii ordinis viro Illyricarum copiarum ductore eam prodente, cepit : tum vero penetrata Mesopotamia, Amidam obsedit, cum non satis numeroso exercitu locus esset munitus, imo solus Alypius, vir alioqui laudatissimus et philosophiæ amans, qui ad urbium defensionem annonæ et commeatus curam conferebat omnem, C cum exigua admodum præsidii manu eam tutaretur. Habitabat autem haud procul a Constantina, quæ Nisibin ad occasum sex et quinquaginta stadiis totidemque Amidam septentrionem versus distantes habet. Verum nonnullo temporis spatio interim lapso, privatisque certaminibus inter Persas Romanosque commissis, quibus nonnunquam inferiores et aliquando gentilium victores pro varia belli fortuna recesserant Romani, tandem Amida post trimestrem obsidionem **125** a Barbaris bello fatigata, ab turrium una, quam propugnandam susceperant monachi, cujusdam proditione, noctu D in hostium (scalis autem ad invasionem utebantur)

VARIÆ LECTIONES.

[92] Βούλγαροι A e f, Βουλγάρεις vulg. [93] πλὴν τοῦ A a f, πλὴν τοῦ ναοῦ τοῦ vulg. [94] τοῦ θαυματουργοῦ add. b post Γρηγορίου. [95] Ἀναστάσιον A, Ἀθανάσιον vulg. [96] μήπω τοῖς om. A. [97] ἐνδεχομένην A, δεχομένην vulg. πολέμων a. [98] ἐκτὸς A, αὐτὸς vulg. [99] σταδίους A, σταδίοις vulg. [1] Νισίβης A a, Νισίβις vulg. [2] τις add. ex A. [3] παρὰ τῶν A, παρ' αὐτῶν vulg. [4] φυλαττομένου A e f, φυλαττομένων vulg. [5] κλίμαξιν οἱ] καὶ μάζηνοι A e f.

JAC. GOARI NOTÆ.

(90) A *Volga* Scythico fluvio, ex quo et patrio solo irruptiones in imperium Romanum fecere. Augerius Busbequius in Itinerario, Ortelius Volaterranus.

(91) Saracenorum principes Aretæ nomine, velut Ægyptiorum Ptolemæi, insignitos testatur Scaliger, *De emend. temp.* lib. II. De Ammonitis Arabibus aliter sentit Abraham Ecchellensis, pag. 115, qua cum Thalabam memoret, principem Aretham ex ejus tribu ortum facile putaverim ; adeoque non a matre sed a tribu dictum Thalabanem, qui Badicharimi filius, Agari pater, Thalabitarum fuerit contribulis.

(92) Hæc pene verbo tenus Theodorus Lector ad lib. II Collect. finem.

(99) Post narratam monstri hujus Theophanis verbis editionem, subdit Anast., *quo viso, imperator præcepit ut occideretur* : idque ex pleniori cod. habuerit, vel est mutuatus ex Simoc. l. VI, c. 1, ex quo ista Theophanes sublegit. ID.

(1) De quo noster Codinus pag. 70, num. 14.

(2) Numerum alii codd. omiserunt, quem tamen Anastasius memorat.

(3) Legationis causa cap. 3 legitur.

A. C. 584. Hoc anno Chaganus ad pactam sibi pecuniarum summam augmentum dari postulabat. Imperator vero barbari sermones respuit. Quare bellum renovare Chaganus constituit; mox Singidonem obtinet, et ad Sirmium castra metatur. Imperator autem Priscum Europæ ducem instituit. Priscus Salvianum sub se legatum elegit, et præcurrere ante **227** exercitum jubet. In Barbaros itaque irruptione facta, acrique conserto prælio, penes Romanos stetit victoria; cladis accepto nuntio, alium exercitum instruit Chaganus, et ad pugnam egreditur. Salvianus armatorum ingenti multitudine conspecta, deterretur, et ad Priscum revertitur. Recessu Romanorum cognito, versus Anchialum Chaganus procedit, Sanctum Alexandrum intellige: et vasto incendio locum omnem depopulatur. Inde Drizepera divertit, et obsidionalibus machinis comparatis oppidum expugnare molitur. Drizeperorum incolæ pectus audacissime opposuere: reseratis enim portis, cum barbaris se fortiter congressuros, extrema necessitate oppressi minabantur. Tunc sane, tunc temporis divina illis affuit virtus. Manifesta quippe meridiei luce Romanorum copias urbe egredientes cernere Barbari sibi visi sunt, et ineundum armorum minitantes congressum: ex quo conturbati, in præcipitem fugam se projicientes, Perinthum se contulere. Priscus autem solius barbaricæ aciei conspectum ferre non sustinens, in Tzurulum castrum ingressus diligenti custodia vitam tutabatur: exinde ad obsidendum Priscum animus barbaro principi factus. Quod cum ad Mauricium perlatum, quid ageret, dubius hæsit. Bono tandem consilio adversus innumeram barbarorum multitudinem armatur, et prudentia oppugnat. De excubitorum igitur numero unum ad castra profectum in Barbarorum potestatem sponte prolabi donis ingentibus et pollicitis amplioribus suadet: ac una simul ad Priscum litteras ei committit in hæc verba: Gloriosissimo duci Prisco. Nefarium Barbarorum conatum ne reformides: qui quidem exitio ipsis erit. Chaganum cum magno

A A. M. 6084. — Τούτῳ τῷ ἔτει ὁ Χαγάνος ἐζήτει προσθήκας (4) ταῖς συνθήκαις [85] λαμβάνειν. Ὁ δὲ αὐτοκράτωρ τοὺς λόγους τοῦ βαρβάρου οὐ παρεδέξατο [86]. Διὰ τοῦτο ὁ Χαγάνος ἤρατο πάλιν τὸν πόλεμον, καὶ πολιορκεῖ τὴν Σιγγιδόνα, καὶ στρατοπεδεύει κατὰ τὸ Σέρμιον. Ὁ δὲ αὐτοκράτωρ στρατηγὸν τῆς Εὐρώπης χειροτονεῖ τὸν Πρίσκον. Ὁ δὲ Πρίσκος τὸν Σαλβιανὸν ὑποστράτηγον ποιήσας προτρέχειν ἐκέλευσεν. Καὶ κατὰ τῶν βαρβάρων χωρήσαντες συγκροτοῦσι πόλεμον καὶ νικῶσιν [87] Ῥωμαῖοι. Ὁ δὲ Χαγάνος τοῦτο ἀκηκοὼς, ἀναλαβὼν τὰς δυνάμεις, ἐχώρει πρὸς πόλεμον [88]. Ὁ δὲ Σαλβιανὸς ἰδὼν τὰ πλήθη καὶ καταπλαγεὶς, πρὸς Πρίσκον ἀφικνεῖται. Γνοὺς δὲ ὁ Χαγάνος τὴν τῶν Ῥωμαίων ὑποχώρησιν, εἰς Ἀγχίαλον ἐξέρχεται ἤτοι εἰς τὸν Ἅγιον Ἀλέ- B ξανδρον· καὶ τοῦτον τῷ παμφάγῳ πυρὶ παραδέδωκεν· μεταβὰς δὲ εἰς τὰ Δριζίπερα ἐπιχειρεῖ ἐκπορθῆσαι τὸ πόλισμα, πολιορκητικὰ ἐξεργασάμενος ὄργανα. Οἱ δὲ τὰ Δριζίπερα οἰκοῦντες ἐπὶ πλεῖστόν [τε] παρέταξαν τὸ θράσος [89] (5). Τὰς γὰρ πύλας ἀναπετάσαντες, ἠπείλουν τοῖς βαρβάροις πολεμεῖν, ἐν δειλίᾳ ἐξαισίῳ ὄντες [90] (6). Τότε δὴ, τότε θεῖαί τινες αὐτοῖς ἐπέστησαν δυνάμεις [91]. Μεσούσης γὰρ ἡμέρας ὁρᾷν ἔδοξαν οἱ βάρβαροι Ῥωμαίων δυνάμεις ἐπεξιούσας τοῦ ἄστεως, καὶ μέλλειν συμπλέκεσθαι, καὶ καταπλαγέντες συντόνῳ φυγῇ ἀποδιδράσκουσιν, καὶ ἐπὶ τὴν Πείρινθον [92] γίνονται. Ὁ δὲ Πρίσκος μηδὲ [93] θεωρεῖν φέρων [94] τὰ πλήθη τῶν Βαρβάρων, εἰς τὸ Τζούρουλον [94*] εἰσελθὼν φρούριον C ἠσφαλίζετο. Ὁ δὲ βάρβαρος τὸν Πρίσκον πολιορκεῖν ἐνεχείρει. Ταῦτα δὲ ἀκηκοὼς Μαυρίκιος, διηπόρει τί δράσοι, εὐβουλίᾳ [95] (7) δὲ καταστρατηγεῖ τῆς ἀπείρου δυνάμεως· καὶ ἕνα τῶν ἐξκουβιτόρων μεγάλαις δωρεαῖς καὶ ὑποσχέσεσι πείθει ἑκόντι περιπεσεῖν τοῖς Βαρβάροις· καὶ δίδωσιν αὐτῷ πρὸς Πρίσκον γράμματα περιέχοντα τάδε· Τῷ ἐνδοξοτάτῳ στρατηγῷ Πρίσκῳ. Τὴν ἀλιτηρίαν τῶν Βαρβάρων ἐγχείρησιν μὴ δειλιάσῃς· πρὸς γὰρ ἀπώλειαν αὐτῶν τοῦτο γέγονεν. Γίνωσκε γὰρ ὅτι μετὰ πολλῆς αἰσχύνης ἔχει ὁ Χαγάνος ὑποστρέψαι εἰς τὴν ἀφιερωθεῖσαν αὐτῷ ὑπὸ Ῥωμαίων χώραν. Διὰ τοῦτο καρτερήσῃ [96] ἡ σοῦ ἐνδοξότης ἐν Τζουρούλῳ περιρέμβων

VARIÆ LECTIONES.

[85] ταῖς συνθήκαις om. A [86] παρεδέξατο A, κατεδ. vulg. [87] καὶ νικῶσιν — πρὸς πόλ. om. A. [88] πολεμικὰ A. [89] παρέταξαν τὸ θρ. A, παρετάξαντο θράσος vulg. [90] ἐν δειλίᾳ ἐξαισίῳ ὄντες A e f, ἐν διαλέξεσιν ὄντες vulg. [91] θεῖαί τινες αὐτοῖς ἐπέστησαν δυνάμεις A f, θεία τις αὐτοῖς ἐπέστη δύναμις vulg. [92] ἕως τὴν Π. e f. [93] μηδὲ] μὴ A f. [94] φέρων] θέλων a. [94*] Τζουρουλλὸν A. [95] εὐβουλίᾳ A sec. man. quemadmodum conj. Goar. ἀβουλία vulg. [96] καρτερήσῃ A, καρτερεῖ f, καρτερήσει vulg.

JAC. GOARI NOTÆ.

(4) Hæc alia eodem tertio capite et tribus sequentibus, quæ tamen absque temporis discrimine, velut anno superiore gesta narrat.

(5) Barb., Ἐπὶ πλεῖστον ἀντιπαρετάξαντο θάρσος· Verum neque hoc sanum, sed emend. ex Simoc. l. VI c. 5, ubi is ita effert, ἐπὶ ἐπίπλαστον θράσος ἐφοίτησαν, *confugerunt ad fictam audaciam*. Scripserit ergo Theophanes, ἐπίπλαστον ἀντιπαρ., *simulatam audaciam opposuerunt;* in eo commento posito, quod apertis portis, pugnam comminarentur, ἐν δειλίᾳ ἐξαισίῳ ὄντες: ut bene Pal. Peyr. legitque Anast., *cum gravissimo pavore tenerentur*. Dolendum sic omnia devorasse inter- D pretem. COMBEFIS.

(6) Non contemnenda lectio Barb. cod., ἐν διαλέξεσιν ὄντες· Pal. tamen vel Peyrez. exemplaris præfertur alia: ἐν δειλίᾳ ἐξαισίῳ ὄντες, quæ Anastasio recepta, *cum essent in formidine ingenti*.

(7) Legebatur ἀβουλίᾳ. At num suspensi animi dubium, et hæsitantia felicis consilii parens? Non ita. Εὐβουλία itaque prosperi successus mater et origo. Emendationem confirmat Anastasius, *tunc optimo inito consilio armatur*, etc. Simoc. l. VI, c. 5, ἀγχινοίας ἀκόλουθον βουλὴν προηνέγκατο.

αὐτόν [97]. Πέμπομεν γὰρ διὰ θαλάσσης πλοῖα, καὶ αἰχμαλωτίζομεν τὰς φαμελίας αὐτῶν [98]. Καὶ ἀναγκάζεται μετὰ αἰσχύνης καὶ ζημίας εἰς τὰ ἴδια ὑποστρέψαι. Ὁ δὲ Χαγάνος κρατήσας τὰ γράμματα καὶ ἀναγνοὺς, γίνεται περιδεής. Καὶ συνθήκας πρὸς τὸν Πρίσκον διαθέμενος, καὶ εἰρηνεύσας ἐπὶ δώροις ὀλίγοις καὶ ἀναξιολόγοις εἰς τὴν ἑαυτοῦ ἐπανέζευξεν γῆν [99] μετὰ φυγῆς κραταιᾶς.

dedecore in assignatam sibi a Romanis provinciam redire certo scias. Quare gloria tua Tzuruli perduret, et Chaganum circumvertet, et pro libito circumagitabit. Copiosam classem mari transmittimus, captivitatemque hosti paramus : qui alioqui cum dedecore et damno domum reversurus est. Chaganus interceptis litteris scripta legit, et una metu consternitur : pactisque cum Prisco conditionibus levium et nullius pretii munerum accessione contentus, composuit pacem, et maxima, qua potuit, fuga, se surripuit.

A. M. 6085. — Ἱεροσολύμων ἐπισκόπου Ἀμω ἔτος α'.

Τούτῳ τῷ ἔτει ὁ αὐτοκράτωρ Μαυρίκιος (8) τὸν Πρίσκον σὺν πάσαις ταῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἐπὶ τὸν Ἴστρον ποταμὸν ἔπεμψεν, ὥστε τὰ Σκλαβινῶν ἔθνη διαπερᾶσαι κωλύσῃ. Τούτου δὲ ἐλθόντος ἐπὶ τὸν Δορόστολον, ὁ Χαγάνος μαθὼν πρέσβεις ἐξέπεμψεν πρὸς αὐτόν· καὶ κατῃτιᾶτο Ῥωμαίους ἔναρξιν τῷ πολέμῳ διδόντας. Ὁ δὲ Πρίσκος ἀπελογεῖτο, ὅτι Οὐ πρὸς [1] βαρβάρους (9) τὸν πόλεμον ποιῆσαι παραγέγονα· ἀλλὰ πρὸς τὰ Σκλαβινῶν ἔθνη ὑπὸ τοῦ αὐτοκράτορος ἀπεστάλην. Ἀκηκοὼς δὲ ὁ Πρίσκος ὅτι Ἀρδάγαστος τὰ πλήθη τῶν Σκλαβινῶν πρὸς τὸ πραιδεύειν διεσκόρπισεν, διαπεράσας τὸν Ἴστρον μεσούσης νυκτὸς [2] ἀδοκήτως τῷ Ἀρδαγάστῳ συνέμιξεν. Ὁ δὲ Ἀρδάγαστος τοῦ κινδύνου αἰσθόμενος ἵππου τε γυμνοῦ ἐπιβὰς, μόλις διασώζεται. Οἱ δὲ Ῥωμαῖοι ἀνελόντες πλήθη Σκλαβινῶν, καὶ τὴν περὶ τὸν Ἀρδάγαστον διατεμόντες χώραν, αἰχμαλωσίας τε κρατήσαντες πολλὰς [3] εἰς τὸ Βυζάντιον ἔπεμπεν διὰ Τατήμερος [4]. Ὁ δὲ Τατήμερ [5] ἐκλύτως τὴν πορείαν ποιούμενος, καὶ εἰς μέθην καὶ τρυφὴν ἐπιδιδοὺς [6] ἠμέλει· καὶ τῇ τρίτῃ ἡμέρᾳ [7] πλήθη Σκλαβινῶν ἐπιτίθενται αὐτῷ· καὶ δειλίᾳ συσχεθεὶς, φεύγων εἰς τὸ Βυζάντιον ἧκεν. Οἱ δὲ σὺν αὐτῷ Ῥωμαῖοι ἐγκρατῶς τοῖς [8] Σκλαβινοῖς μαχησάμενοι, κρατοῦσι τῶν Βαρβάρων παραδόξως, καὶ εἰς τὸ Βυζάντιον τὴν αἰχμαλωσίαν τῷ βασιλεῖ [9] ἀποσώζουσιν· ὁ δὲ αὐτοκράτωρ εὐφρανθεὶς, εὐχαριστηρίους [10] ὕμνους μετὰ πάσης τῆς πόλεως τῷ Θεῷ προσέφερεν. Ὁ δὲ Πρίσκος θαῤῥήσας, εἰς τὰ ἐσώτερα μέρη τῶν Σκλαβινῶν ἐχώρει. Γήπαις δὲ ἀνὴρ τῆς θρησκείας τῶν Χριστιανῶν ὑπάρχων αὐτομολεῖ πρὸς Ῥωμαίους, καὶ τὴν εἴσοδον τοῖς Ῥωμαίοις ὑπέδειξεν, καὶ τῶν Βαρβάρων ἐκράτησαν· ἔφησε δὲ καὶ Μουσούχιον [11] τὸν ῥῆγα τῶν Βαρβάρων ἀπὸ τριάκοντα σημείων διάγειν [12]. Προδοσίᾳ δὲ τοῦ Γήπαιδος διαβὰς τὸν ποτα-

228 A. C. 585. — *Hierosolymorum episcopi Amo annus primus.*

Hoc anno imperator Mauricius Priscum Romanorum cum copiis omnibus ad Istrum flumen ablegat, ut Sclavinorum gentes amnem trajicere molientes impediret. Cum vero Dorostolum venisset, Chaganus de ejus adventu certior factus, legatos misit, qui Romanos bello initium atque occasionem dare questi sunt. Repondit Priscus : Bellum in Barbaros moturus minime missus sum : solas Sclavinorum gentes a me coercendas jussit imperator. Priscus autem Sclavinorum populum ab Ardagasto duce sparsim per Romanam provinciam ad prædam effusum cum rescisset : Istro trajecto, noctis sub medium ex improviso Ardagastum adoritur, et cum eo manus conserit. Ardagastus, cognito periculo, nudo equo insiliens vix salutem fuga consequitur. Romani multis Sclavinorum copiis cæsis, atque universa Ardagasti regione devastata, captisque innumeris, multos ex eis Byzantium per Tatemerem transmisere. Tatemer iter agens incautus et resolutus, vino insuper et voluptatibus per vias indulgens, tertia die in irruentium Sclavinorum manus incidit : tum metu correptus, fuga Byzantium attingit. At Romani reliqui viæ comites Sclavinorum impetum fortiter sustinentes, præter spem omnem Barbaros superant, et universam prædam captivorumque turmas incolumes ad imperatorem Byzantium detulere. His imperator lætatus, beneficium divinum laudibus et hymnis compensat, et cum totius urbis populo grates Deo litat. Porro Priscus successu audentior redditus, interiores Sclavinorum partes penetrat. Tum vero Gepes vir Christianorum religioni addictus, in Romanorum partes transiens, ingressum Romanis indicat : qui nullo labore Barbarorum regionem obtinent. Musugium autem Barbarorum regem ad trigesimum lapidem

VARIÆ LECTIONES.

[97] αὐτὸν] αὐτοὺς A b. [98] τὰς φαμελίας αὐτῶν A a f, αὐτοὺς vulg. [99] γῆν add. ex A. [1] ὅτι οὐ πρὸς — ὁ Πρίσκος om. A f. [2] μεσ. δὲ τῆς νυκτὸς A. [3] πολλούς A. [4] Τατήμερος] Τήμερος A. [5] Τατήμερ] Τάτητος A f, Τάτητως b. [6] ἐπιδιδοὺς A, ἐπιδοὺς vulg. [7] καὶ τῇ τρίτῃ ἡμ. A, ἐν τῇ τρίτῃ δὲ ἡμ. vulg. [8] τοῖς add. ex A. [9] τῷ βασιλεῖ om. A. [10] εὐχαριστηρίους A, εὐχαριστίους vulg. [11] Μουσούχιον A a, Μονσούγιον e, Μουσούγιον vulg. *Musacium* Anast. [12] διάγειν] ὑπάρχειν f.

JAC. GOARI NOTÆ.

(8) In alium annum seponit ista Simocatta capp. 6, 7, 8 et 9 ; verum non nisi decimus ab eo potest numerari.

(9) Liquet ex Simocat. l. VI, c. 6, ipsaque serie leg. Ἀβάρεις : sic enim ille Priscum Chagani querelis respondentem inducit ; κατὰ τῶν Σκλαβίνων ἄρασθαι πόλεμον· μὴ γὰρ οὐ ταῖς Ἀβαρικαῖς συνθήκαις τε καὶ σπονδαῖς καὶ τὸν Γετικὸν καταλύσασθαι πόλεμον· *Bellum hoc adversus Sclavos susceptum esse. Non enim pactis et fœderibus cum Abarum gente initis, etiam in Getas expeditionem impediri.* COMBEFIS.

morar referebat. Priscus itaque Gepedis proditione usus profunda jam nocte Musugium vino plane obrutum comperit; funebrem etenim solemnitatem proprio fratri sacraverat. Eo igitur vivo comprehenso, horrendam omnino Barbarorum stragem edidit. Hinc ubere præda potiti Romani in crapulas et voluptates resolvuntur. Quare Barbari in unum agmen denuo collecti impetum in victores faciunt: malorum autem illatorum ultio præclaro facinore **229** prius edito acerbior exstitisset, nisi Genzon cum toto peditatus robore certamen iniens acerrimum Barbarorum vires fregisset. Porro Priscus cunctos quibus sui corporis custodiam demandaverat, in patibulum egit.

Eodem anno Paulus imperatoris pater morte Cpoli perfunctus, inter imperatores parem eis sepulturam et tumulum obtinuit: similiter et Anastasia Augusta socrus Mauricii, Tiberii vero imperatoris conjux, juxta virum suum Tiberium sepulcri locum consecuta est.

A. C.—586. Hoc anno cum Priscus iterum Danubium occupasset, et Sclavinorum ditionem depopulatus, magnam inde prædam et captivorum numerum ad imperatorem summisisset; imperator Tatemere ad Priscum misso Romanum exercitum iis in locis hibernare jubet. Placito imperatoris accepto, moram deprecabantur Romani, ac cum propter Barbarorum sibi oppositum exercitum, tum hostilis et infestæ regionis periculum, et intoleranda frigora, id nusquam fieri posse in adversum objiciebant. Priscus suavibus verbis militem demulcet, et imperatoris jusso obsequentem, hibernam ibidem stationem habere suadet. Mauricius his auditis Philippicum generum Orientis ducem, quemque ob ei junctam in matrimonium sororem fidissimum habebat, excubitorum comitem creavit. Porro Philippicus sanctissimæ Dominæ nostræ monasterium et illud palatium quo Mauricius imperator cum liberis aliquando foret excipiendus Chrysopoli cœpit ædificare: piscinas etiam et hortos ad ejus usum deliciasve intus paravit: Cpoli autem Philippici domum ab eo nuncupatam exstruxit.

A. C. 587. — *Cpoleos episcopi Cyriaci annus primus.*

Antiochiæ Anastasii episcopi annus primus.

A μὲν ὁ Πρίσκος, μεσούσης τῆς νυκτὸς εὑρίσκει τὸν Μουσούκιον διεφθαρμένον τῇ μέθῃ. Ἐπιτάφιον γὰρ ἑορτὴν τοῦ ἰδίου ἀδελφοῦ ἑώρταζεν [13]. Καὶ τοῦτον συλλαβόμενος ζῶντα, φόνον πολὺν ἐν τοῖς βαρβάροις εἰργάσατο. Πολλῆς δὲ αἰχμαλωσίας κρατήσαντες, μέθῃ καὶ τρυφῇ ἑαυτοὺς ἐκδεδώκασιν. Συναθροισθέντες δὲ οἱ Βάρβαροι τοῖς νενικηκόσιν ἐφίστανται· καὶ ἦν ἂν ἡ ἀντίδρασις [14] χαλεπωτέρα τῆς προϋπαρξάσης ἀνδραγαθίας, εἰ μὴ ὁ Γένζων μετὰ τῆς πεζικῆς δυνάμεως τῶν Ῥωμαίων ἐπιστάς, μάχῃ κραταιᾷ διεκώλυσε [15] τὰς ὁρμὰς τῶν Βαρβάρων. Ὁ δὲ Πρίσκος τοὺς τὴν φρουρὰν αὐτῷ [16] πεπιστευμένους (10) ἀνεσκολόπισεν.

B Τῷ δ' αὐτῷ χρόνῳ καὶ Παῦλος ὁ τοῦ βασιλέως πατὴρ ἐτελεύτησεν ἐν τῇ Κωνσταντινουπόλει καὶ ἐτάφη ἐν τοῖς βασιλικοῖς μνήμασιν· ὁμοίως καὶ Ἀναστασία ἡ αὐτοῦ [17] Αὐγοῦστα ἡ πενθερὰ τοῦ Μαυρικίου, γυνὴ δὲ Τιβερίου τοῦ βασιλέως· καὶ αὐτὴ ἐτάφη μετὰ Τιβερίου τοῦ ἀνδρὸς αὐτῆς.

A. M. 6086. — Τούτῳ τῷ ἔτει τοῦ Πρίσκου πάλιν τὸν Ἴστρον καταλαβόντος (11), καὶ τὰ Σκλαβινῶν ἔθνη [18] πραιδεύσαντος, καὶ πολλὴν αἰχμαλωσίαν τῷ βασιλεῖ ἀναπέμψαντος, ὁ βασιλεὺς τὸν Τατίμερα [19] ἀποστείλας πρὸς Πρίσκον, παρακελεύεται αὐτόθι τὸν χειμῶνα διατρῖψαι τοὺς Ῥωμαίους καιρόν (12). Οἱ δὲ Ῥωμαῖοι τοῦτο μαθόντες [20] ἀντέλεγον, ὡς οὐκ ἐνδέχεται τοῦτο γενέσθαι διά τε τὰ πλήθη τῶν Βαρβάρων, καὶ τὸ πολεμίαν ὑπεῖναι [21] τὴν χώραν, καὶ C τὰ ψύχη [22] ἀφόρητα. Ὁ δὲ Πρίσκος λόγοις πιθανοῖς [23] ἔπεισεν [24] αὐτοὺς ἐκεῖ χειμάσαι, καὶ τὴν τοῦ βασιλέως κέλευσιν πληρῶσαι. Ὁ δὲ βασιλεὺς Μαυρίκιος ταῦτα ἀκηκοὼς Φιλιππικὸν τὸν ἴδιον γαμβρὸν τὸν τῆς Ἀνατολῆς στρατηγὸν ἐποίησε κόμητα τῶν ἐξκουβιτόρων θαρρῶν αὐτῷ, ὡς τὴν αὐτοῦ ἀδελφὴν αὐτῷ ἔζευξεν [25]. Ὁ δὲ Φιλιππικὸς ἤρξατο κτίζειν ἐν Χρυσοπόλει τὴν μονὴν τῆς παναγίας ἡμῶν Δεσποίνης Θεοτόκου καὶ παλάτιον ἐν αὐτῇ ὀφεῖλον ὑποδέχεσθαι Μαυρίκιον τὸν βασιλέα, καὶ τὰ τέκνα αὐτοῦ, ποιήσας ἰχθυοτροφεῖα καὶ παραδείσια ἔνδοθεν [ἔσω [26]] εἰς τὴν θεραπείαν αὐτοῦ, καὶ ἐν Κωνσταντινουπόλει τὴν οἰκίαν τὴν ἐπιλεγομένην τὰ Φιλιππικοῦ.

D A. M. 6087. — *Κωνσταντινουπόλεως ἐπισκόπου Κυριακοῦ ἔτος α'.*

Ἀντιοχείας (13) *ἐπισκόπου Ἀναστασίου ἔτος α'.*

VARIÆ LECTIONES.

[13] ἑώρταζεν A, ἑόρταζεν vulg. [14] ἀντίδοσις A f. [15] διεκώλυσε A, διέλυσε vulg. [16] αὐτῶν A. [17] αὐτοῦ add. ex A. [18] ἔθνη om. f. [19] Τατήμερον f. [20] μεμαθηκότες A. [21] καὶ τὸ πολεμίαν ὑπεῖναι A, καὶ τῶν πολεμίων ὑπ. vulg. [22] καὶ τὰ ψύχη om. A a f. [23] πειθανοῖς vulg. [24] ἔπεισεν A, ἔπειθεν vulg. [25] αὐτῷ ἔζευξεν A, ζεύξας αὐτῷ vulg. [26] ἔνδοθεν ἔσωθεν A f, sed alterutrum delendum videtur.

JAC. GOARI NOTÆ.

(10) Non bene interpr., *quibus sui corporis custodiam demandaverat*, imo, quibus castrorum et exercitus. Simoc. lib. VI, cap. 9: Τῆς διαφρουρᾶς κατημέλησαν, ἣν σκοῦλκαν σύνηθες τῇ πατρίᾳ φωνῇ Ῥωμαίοις ἀποκαλεῖν· *Custodiam neglexerant, quam scultam patrio sermone Romani de more vocitant:* idem non omnes ejusmodi custodes in patibulum actos ait, quod nimiæ fuisset serveritatis; sed, τοὺς φρουράρχους: *præfectos custodiæ*, nonnullis aliis durius virgis cæsis. COMBEFIS.

(11) Hyeme gesta novum annum indicant apud Simocattam cap. 10. Undecimum tamen, ejus calculi non superant.

(12) Legerem, τοῦ χειμῶνος καιρόν, nisi Codices reliqui cum Regio convenirent.

(13) Hic secundus episcopatus est Anastasii, qui anno Justini quinto amotus fuerat. Chronic. Alexand.: Τούτῳ τῷ ἔτει Ἀναστάσιος πατριάρχης Ἀντιοχείας ἐπανῆλθεν ἐν Ἀντιοχείᾳ μετὰ τελευτὴν Γρηγορίου πατριάρχου γενομένου, τοῦ καὶ διαδεξα-

A Τούτῳ τῷ ἔτει εἰς τὰ τοῦ Βυζαντίου προάστεια (14) τίκτονται τέρατα, παιδίον τετράπουν, καὶ ἄλλο δικόρυφον [27]. Λέγουσι δὲ οἱ τὰς ἱστορίας ἐπιμελῶς ἐγγράφοντες μὴ σημαίνειν ἀγαθὰ ταῖς πόλεσιν, ἐν αἷς ἂν [28] τεχθῶσι τὰ τοιαῦτα. Ὁ δὲ βασιλεὺς τὸν Πρίσκον τῆς στρατηγίας [29] ἀποπαύει· Πέτρον δὲ τὸν ἑαυτοῦ ἀδελφὸν στρατηγὸν τῆς δυνάμεως ποιεῖται Ῥωμαίων. Ὁ μὲν οὖν Πρίσκος (15) τὰς δυνάμεις ἀράμενος πρὶν ἢ τὸν Πέτρον φθάσαι διεπέρα [30] τὸν ποταμόν· ὁ δὲ Χαγάνος τὴν μετάβασιν τοῦ Ῥωμαϊκοῦ λαοῦ ἀκηκοὼς, λίαν ἐθαύμασεν, καὶ πρὸς τὸν Πρίσκον ἀπέστειλεν, μαθεῖν τὴν αἰτίαν ἐπιζητῶν, καὶ μοῖραν λαβεῖν τῆς πραίδας· καὶ οὕτως τὸν ποταμὸν διανήξασθαι. Λίαν γὰρ ἐχαλέπαινεν ἐπὶ τοῖς εὐτυχήμασι τῶν Ῥωμαίων. Πέμπει τοίνυν ὁ Πρίσκος B περὶ τούτων πρὸς τὸν Χαγάνον [31] πρεσβείαν Θεόδωρον τὸν ἰατρὸν, ἀγχινοίᾳ καὶ συνέσει κεκοσμημένον. Οὗτος ἑωρακὼς τὸν Χαγάνον μέγα φρονοῦντα, καὶ τὰς ἀποκρίσεις ἀλαζονικώτερον ποιούμενον [32] (ἠπείλει γὰρ πάντων τῶν ἐθνῶν αὐτὸν εἶναι κύριον), διηγήματι παλαιῷ τὸν βαρβαρικὸν κατεπράϋνε τῦφον· ἔφασκεν γάρ· Ἄκουσον, Χαγάνε, ἐπωφελοῦς διηγήματος· Σέσωστρις ὁ τῶν [33] Αἰγυπτίων βασιλεὺς περιφανής τε καὶ λίαν [34] εὐδαίμων, τῷ πλούτῳ λαμπρὸς καὶ ταῖς δυνάμεσιν ἀκαταμάχητος, πλεῖστα καὶ μεγάλα ἐδουλώσατο ἔθνη· ἐντεῦθεν εἰς ἀλαζονείαν περιπεσὼν, χρυσοκόλλητον ὄχημα ἐκ λίθων τιμίων κατασκευάσας, ἐπικάθηται τούτῳ, καὶ ὑποβάλλει τῷ ζυγῷ τῶν ἡττηθέντων βασιλέων τέσσαρας ἕλκειν τὸ ὄχημα. Τούτου δὲ γενομένου, ἐν ἐπισήμῳ ἑστῶτι (16) C εἷς τῶν τεσσάρων βασιλέων συχνῶς τὸ ὄμμα ἐπέστρεφεν εἰς τὰ ὀπίσω [35], καὶ τὸν τροχὸν ἑώρα κυλιόμενον· τῷ Σέσωστρι δὲ [36] ἐπερωτῶντι, διὰ τί ὄπισθεν ἐπιστηρίζει τὰ ὄμματα, τοῦτον εἰπεῖν· Τὸν τροχὸν θαυμάζω ἀστατοῦντα, καὶ ἄλλοτε ἄλλως κινούμενον· καὶ ποτὲ μὲν τὰ ὑψηλὰ ταπεινοῦντα, αὖθις δὲ τὰ ταπεινὰ ἀνυψοῦντα. Τὸν δὲ Σέσωστριν συνετῶς τὴν παραβολὴν τῇ ἀκοῇ ἐπισκέψαντα [37] νομοθετῆσαι, τὸ μηκέτι [38] βασιλεῖς ἕλκειν τὸ ὄχημα. Ὁ δὲ Χαγάνος ταῦτα ἀκηκοὼς καὶ ὑπογελάσας, ἔφησεν τὴν εἰρήνην ἄγειν, τῇ δὲ προαιρέσει Πρίσκου, εἴ τι ἂν θέλῃ τῶν

Hoc anno monstra in suburbanis Byzantii locis nata sunt: puer nimirum quadrupes, et alius biceps. Accurati porro historiarum scriptores urbibus, in quibus illa prodierint, nil boni faustique 230 portendere asseverant. Imperator autem Prisco a summa exercituum præfectura remoto Petrum proprium fratrem Romanarum copiarum ducem instituit. De sua exauctoratione Priscus certior factus, eductis secum ante Petri adventum omnibus copiis, amnem trajicit. Ut Romanas acies ulteriorem ripam suo transitu obtinuisse Chaganus intellexit, id satis miratus, misit ad Priscum causam nimirum percunctaturus, ac simul prædæ partem consequi apud se consiliatus, atque ita demum amnem ipse transveheretur. Quam moleste enim ferebat prosperum quippiam Romanis succedere. Ad Chaganum itaque legationem de his Priscus instruit, Theodorum videlicet medicum, virum animi solertia et prudentia insignem. Qui cum tumidos Chagani spiritus, ejusque responsa arrogantius data (cunctarum quippe nationum sese prædicabat dominum) animo percepisset: barbaricam hominis insolentiam antiqua narratione demulcebat. Ad eum itaque conversus: Audi, inquit, Chagane, narrationem tibi profuturam. Sesostris, Ægyptiorum rex illustris, atque oppido felix, divitiis alioqui clarus, et armorum robore prorsus invictus, innumeras atque potentissimas nationes subegit: eoque in superbiam omnino dementem prolapsus currum auro lapidibusque pretiosis compactum paravit, cui insidens, ex devictis regibus quatuor, qui currum equorum more traherent, ad jugum alligavit. Interim dum ea pompa elatus triumphat, e regibus quatuor alter conversis retro frequenter luminibus rotam sese circumvolventem attentius contemplabatur. Sesostri vero sciscitanti, cur retro figeret oculum, respondit ille: Rotæ inconstantiam demiror in diversas partes se convolventis, et qua partem superiorem inclinantis, qua vero inferiorem erigentis et excelsius elevantis. Porro Sesostris cum similitudinem hanc, qua pollebat animi sagacitate, per-

VARIÆ LECTIONES.

[27] δύο κορυφῶν A f. [28] ἂν add. ex A. [29] τὸν Πρ. τῆς στρατ. A, τῆς στρατ. τὸν Πρ. vulg. [30] διαπερᾷ A. [31] πρὸς τὸν Χαγάνον A, Χαγάνῳ vulg. [32] ποιούμενον A, ποιούμενος vulg. [33] ὁ τῶν add. ex A. [34] λίαν add. ex A. [35] εἰς τὰ ὀπίσω A, εἰς τοὐπίσω vulg. [36] τὸν δὲ Σέσωστριν ἐπερωτῶντα A f. [37] συνετῶς τὴν ἀκοὴν ἐπισκ., omisso τὴν παραβολὴν, A f. [38] τοῦ μηκέτι A.

JAC. GOARI NOTÆ.

μένου πρὸ τούτου τὸν αὐτὸν Ἀναστάσιον: ubi Rader., *qui vivus etiam Anastasium receperat*. Scripserit forte *exceperat*. Ergo, *qui et ante Anastasio suffectus fuerat*. COMBEFIS.

(14) Hæc una cum præcedentibus annus idem apud Simocattam complectitur cap. 11: Ἐν τούτῳ δὲ ἐνιαυτῷ, inquit, εἰς τὰ πρὸ τοῦ ἄστεος τίκτονται παράδοξα τέρατα· *Hoc ipso anno mirabilia portenta in suburbanis generata sunt.*

(15) Addit interpr. quod historiæ repugnat, *de sua exauctoratione Priscus certior factus, eductis* etc.; imo antequam sciret, sic exercitum trajecerat: τούτων οὔπω ἐπέπυστο: inquit Theophyl. Alia itaque ratione id factum, quam idem explicat lib. VI, D cap. 11, quod nimirum haud sibi satis tutum trans amnem existimaret, ac Barbarorum inopinata irruptione opprimi metueret. At nec illud apte redditum, τὴν μετάβασιν ἀκηκοὼς, *ut Romanas acies ulteriorem ripam suo transitu obtinuisse Chaganus intellexit:* nondum enim obtinuerant, quam ut clare auctor prosequitur ex eodem Theophyl. Sit ergo, *audiens transitum*; in procinctu scilicet. Theophyl. τὴν ἀπόβασιν. *descensu audito:* ut ibi interpr., nempe ad flumen. COMBEFIS.

(16) Ita plane errore scriptum, pro ἑορτῇ, ut legit Anast. habetque Theophyl. lib. VI cap. ult.: ἐν μεγάλῃ τινὶ καὶ περιφανεῖ ἑορτῇ· *celebri quadam solemnitate, ac frequenti Ægyptiorum conventu.*

cepisset, lege sancita edixit, ne ulli deinceps reges currum apud Ægyptios traherent. Subrisit Chaganus, his auditis, et pacis fœdera servaturum se promisit : in potestate vero Prisci stare, qua parte spoliorum vellet, se donatum relinqueret. In transitus itaque concessi mercedem, captivos omnes Priscus Chagano restituit; ipse, retentis sibi spoliis, amnem iterum sine periculo trajecit. Chaganus his acceptis mirum in modum lætatus est : Prisco vero Byzantium reverso, Petrus in exercitus ducendi munus successit.

A λαφύρων τὸν Χαγάνον τιμῆσαι. Ὁ δὲ Πρίσκος τὴν αἰχμαλωσίαν ἀπέδωκε τῷ Χαγάνῳ ὑπὲρ τῆς διαβάσεως. Τὰ δὲ λάφυρα πάντα λαβὼν ἀκινδύνως τὸν ποταμὸν διεπέρασεν. Ὁ δὲ Χαγάνος ταῦτα δεξάμενος ἥσθη μεγάλως· καὶ ὁ Πρίσκος εἰς Βυζάντιον ἧκεν. Ὁ δὲ Πέτρος τὴν στρατηγίαν παρέλαβεν.

A. C. 588. — Hoc anno Petro duci suis mandatis
231 significavit imperator, ut stipendiorum tertiam partem nummis aureis persolvendam Romani milites acciperent : partem aliam armis sibi concessis : ultimam denique data ad vestes quaslibet materia sibi repensam profiterentur. Quod ubi resciverunt, ad rebellionem se converterunt. Deterritus dux factum apud milites excusavit, nequaquam id verum esse asseverans : quin etiam alias litteras ostendit, quibus jubebat imperator, ut milites qui in bello fortiter se gesserant, et a gravibus periculis incolumes evaserant, in urbibus data vacatione agerent, et publicis sumptibus inter cæteros senes alerentur : amplius et militum liberi in proprium parentum locum ascriberentur. Ejusmodi verborum lenocinio exercitum ita demulsit, ut Cæsarem universi faustis acclamationibus prosecuti sint : de quibus omnibus Petrus imperatorem certiorem fecit. Marcianopolim vero accedens, milites mille, qui præcurrerent, misit. Isti vero in Sclavinos, qui magnam e Romanorum finibus prædam avexerant, incidentes, in fugam Barbaros vertere. At Barbari, captivis interfectis, cæteram prædam, quæ maxima fuit, secum abducentes, in Romanorum fines regressi sunt.

A. M. 6088. — Τούτῳ τῷ ἔτει ἐκέλευσεν ὁ βασιλεὺς Πέτρῳ (17) τῷ στρατηγῷ, ὥστε τὴν τρίτην μοῖραν τῆς ῥόγας διὰ χρυσοῦ τοὺς Ῥωμαίους λαβεῖν· καὶ τὴν τρίτην διὰ ὅπλων· τὴν δὲ ἑτέραν τρίτην δι' ἐσθῆτος παντοίας. Οἱ [39] τοίνυν Ῥωμαῖοι τοῦτο ἀκηκοότες πρὸς τυραννίδα ἐτρέποντο. Ὁ δὲ στρατηγὸς
B φοβηθεὶς τοῖς στρατοπέδοις ἀπελογεῖτο, ὡς οὐκ ἀληθὲς τοῦτό ἐστι. Καὶ ἐπεδείκνυε τῷ στρατῷ ἕτερα γράμματα παρακελευόμενα αὐτῷ, ὥστε τοὺς ἀριστεύσαντας καὶ ἐκ τῶν κινδύνων διασωθέντας [40] ἐν ταῖς πόλεσιν ἀναπαύεσθαι, καὶ γηροτροφεῖσθαι [41] ἐκ τῶν δημοσίων· τοὺς δὲ παῖδας τῶν στρατιωτῶν εἰς τοὺς τόπους τῶν οἰκείων [42] γονέων ἐγγράφεσθαι· καὶ ταύτῃ τῇ πιθανότητι [43] τὸν λαὸν κατεπράϋνεν [44], καὶ τὸν Καίσαρα ἀνευφήμησαν [45]. Ταῦτα δὲ ὁ Πέτρος τῷ βασιλεῖ [46] κατεμήνυσεν. Ἐλθὼν δὲ ἐπὶ Μαρκιανούπολιν ἀποστέλλει χιλίους προτρέχειν. Οὗτοι περιτυχόντες Σκλαβινοῖς ἐπιφερομένοις Ῥωμαϊκὴν λεηλασίαν πολλὴν, τούτους τρέπονται [47]· οἱ δὲ βάρβαροι τὴν αἰχμαλωσίαν ἀποσφάξαντες (18), καὶ αἰχμαλωσίας πολλῆς κρατήσαντες, ἐπὶ τὰ Ῥωμαϊκὰ ὑπέστρεψαν.

Eodem anno solarium Magnauræ rotundum condidit imperator, suamque statuam ad medium atrium erexit, ibidemque posuit armamentum.

C Τῷ δ' αὐτῷ ἔτει ἔκτισεν ὁ βασιλεὺς τὸ [48] ἡλιακὸν (19) τῆς Μαγναύρας τὸ στρογγύλον [49]· καὶ ἔστησεν ἐν τῷ μεσιαύλῳ τὴν ἰδίαν στήλην, καὶ ἀπέθετο ἐκεῖ τὸ ἀρμαμέντον.

A. C. 589. — Hoc anno cum Petrus dux venatum prodiisset, agrestis sus obviam factus pedem ejus ad arborem contrivit : ex quo doloribus plane intolerandis diu cruciatus est. Imperator autem litteris inclementioribus, probrosis, conviciisque gravissimis eum perstrinxit, cum Sclavinos Byzantium versus adventare rescivisset. His Petrus commotus ac vere coactus Novas se contulit. Cum vero urbis primates ac milites una cum episcopo

A. M. 6089. — Τούτῳ τῷ ἔτει Πέτρου τοῦ στρατηγοῦ κυνηγοῦντος (20), καὶ ὗς ἀγρίου αὐτῷ συναντήσαντος, τὸν πόδα τούτου ἐν δένδρῳ ἐξέθλιψεν, καὶ ἀφορήτοις [50] ὀδύναις χρόνῳ πολλῷ ἐνοσηλεύετο. Ὁ δὲ αὐτοκράτωρ γράμμασιν αἰσχίστοις καὶ ὀνειδισμοῖς ἀφορήτοις αὐτὸν περιέβαλεν [51], ἀκούσας [52] Σκλαβινὰ
D ἔθνη κατὰ τοῦ Βυζαντίου κινεῖσθαι. Ὁ δὲ Πέτρος βιασάμενος εἰς Νόβας [53] παρεγένετο (21). Οἱ δὲ τῆς πόλεως ἐπίσημοι στρατιῶται ἅμα τῷ ἐπισκόπῳ τῷ

VARIÆ LECTIONES.

[39] οἱ add. ex A. [40] διασωθέντας A e, σωθέντας vulg. [41] εὐτροφεῖσθαι e. [42] οἰκείων add. ex A. [43] πειθανότητι vulg. [44] κατεπράϋνεν A, καταπραΰνας vulg. [45] εὐφήμησαν A. [46] τῷ βασ. A, καὶ τῷ βασ. vulg. [47] τρέπονται A b, τρέπουσιν vulg. [48] τὸ ἡλ. A, τὸν ἡλ. vulg. [49] τὸ στρογγύλον add. ex A a f. [50] ἀφορήτος A, ἀφορήτας vulg. [51] περιέβαλεν A, περιέβαλλεν vulg. [52] ἀκούων A. [53] Νομὰς e f.

JAC. GOARI NOTÆ.

(17) Simocatta lib. 7 capp. 1 et 2.

(18) Theophyl. paulo aliter rem narrat, semel ac iterum occisos a barbaris captivos; alios cum primum Romani occurrissent, alios cum se ab eis expugnari, ut nulla spes salutis reliqua esset, viderent. Combefis.

(19) *Solarium* illud *rotundum* memorat Anastasius : cui voce στρογγύλον adjecl naonnulli codd. consentiunt. Μεσίαυλον autem basim lapideam areæ vel atrii medio erectam lubens interpretarer, cum in eo statuam superpositam intuear.

(20) Excerptum e capp. 2, 3, 4 et 5.

(21) Nova alia in Africa, alia in Mœsia superiore. — Theophylactus venisse quidem Petrum Novas narrat, nihil tamen ejusmodi in ea urbe illi accidisse refert, sed in Asimo, ubi esset lectissimorum illud militum præsidium a Justino illic constitutum, quod is frustra amovere conatus sit, coactis præsidiariis in sua castra. Sic l. VII, cc. 2 et 3. Combefis.

στρατηγῷ ὑπήντων· οὓς ἰδὼν ὁ στρατηγὸς καὶ θαυμάσας τὴν ἐξόπλισιν καὶ ἀνδρείαν αὐτῶν, κελεύει καταλιπόντας [54] τὸ ἄστυ τῇ Ῥωμαϊκῇ πληθύϊ συναναμίγνυσθαι· οἱ δὲ στρατιῶται ἐπὶ φρουρᾷ τῆς πόλεως συντεταγμένοι, οὐκ ἐπείθοντο τοῦτο ποιῆσαι. Θυμωθεὶς δὲ ὁ στρατηγὸς, ἀπέστειλεν Γένζωνα μετὰ πλήθους στρατιωτῶν. Οἱ δὲ μαθόντες ἔφυγον εἰς τὴν ἐκκλησίαν, καὶ τὰς θύρας τοῦ ναοῦ κλείσαντες, ἐκάθηντο [55] ἔνδον. Ὁ δὲ Γένζων τῇ αἰδοῖ [56] τοῦ ναοῦ, ἄπρακτος διέμεινεν. Πέτρος δὲ ὀργισθεὶς, ἀποχειροτονεῖ τὸν Γένζωνα τῆς στρατηγίας, καὶ ἐκπέμπει Σκρίβωνα (22) ἠτιμωμένως τὸν ἐπίσκοπον πρὸς αὐτὸν ἀγαγεῖν. Οἱ δὲ τῆς πόλεως πανοικεὶ [57] συναχθέντες [57*], ἀτίμως τὸν Σκρίβωνα τῆς πόλεως ἀπελαύνουσιν· καὶ τὰς πύλας τῆς πόλεως κλείσαντες, τὸν μὲν Μαυρίκιον βασιλέα εὐφήμουν, τὸν δὲ στρατηγὸν ὕβρεσι περιέβαλλον· καὶ οὕτως ἀτίμως ὁ Πέτρος ἐκεῖθεν [58] ἀνεχώρησεν. Προπέμπει δὲ χιλίους ἐπὶ κατασκοπῇ· οἱ δὲ περιτυγχάνουσι Βουλγάροις χιλίοις τὸν ἀριθμόν. Οἱ δὲ Βούλγαροι θαῤῥοῦντες τῇ [59] εἰρήνῃ τοῦ Χαγάνου, ἀμερίμνως ἐβάδιζον· οἱ δὲ Ῥωμαῖοι πρὸς τοὺς Βουλγάρους τὰς ὁρμὰς [60] ἐποιοῦντο. Οἱ δὲ Βούλγαροι [61] ἀποστέλλουσιν ἄνδρας [62] ἑπτὰ, παραινοῦντες μὴ παραλῦσαι τὴν εἰρήνην. Τοῦτο ἀκούσαντες οἱ προτρέχοντες, μηνύουσιν τῷ στρατηγῷ [63] ταῦτα. Ὁ δὲ στρατηγὸς ἔφη· Οὐδὲ εἰ ὁ αὐτοκράτωρ παρέλθοι [64], τούτων [64*] φείσομαι. Συμβολῆς [65] δὲ γενομένης, τρέπονται οἱ Ῥωμαῖοι. Οἱ δὲ βάρβαροι οὐκ ἐδίωξαν αὐτοὺς, ἵνα μὴ νικῶντες κινδύνῳ περιπέσωσιν. Ὁ δὲ στρατηγὸς τὸν ταξίαρχον τῶν προτρεχόντων χαλεπῶς ἐμαστίγωσεν. Τοῦτο μαθὼν ὁ Χαγάνος πρέσβεις πρὸς τὸν Πέτρον ἐξέπεμψεν, τὴν ἔναρξιν αἰτιώμενος, καὶ ὡς Ῥωμαῖοι ἄνευ δικαίας αἰτίας τὴν εἰρήνην διέλυσαν. Ὁ δὲ Πέτρος ἀπατηλοῖς λόγοις χρησάμενος, μὴ εἰδέναι τὴν κίνησιν διισχυρίζετο, διπλασίονα δὲ διδόναι τὰ [66] σκῦλα ἅπαντα· καὶ οὕτως ἐν μοίραις δύο (23) οἱ βάρβαροι τὰ ἀπολωλότα σκῦλα ἀναλαβόντες, στέργουσι τὴν εἰρήνην. Ὁ δὲ Πέτρος κατὰ Πηρεγάστου (24) τοῦ ἐξάρχου τῶν Σκλαβινῶν χωρεῖ. Οἱ δὲ βάρβαροι περὶ τὴν ὄχθην [67] τοῦ ποταμοῦ τούτοις ὑπαντήσαντες, διεκώλυον τοῦ περᾶσαι. Οἱ δὲ Ῥωμαῖοι ἀπὸ τῶν πορθμίων (25) τοξεύοντες, τούτους ἀπέστρεψαν· καὶ τραπέντων αὐτῶν, πλήττεται κατὰ

A ei obviam progressi essent, speciosum militum ornatum ac fortitudinem miratus dux, ut, urbe relicta, se Romano exercitui adjungerent, mandavit. At milites qui ad urbis custodiam deputati fuerant, id exsequi detrectaverunt: ex quo dux iratus, Genzonem cum armata militum manu ad eos misit: qui ea de re certiores facti, ad ecclesiam confugientes, clausis templi portis intus se continuere. Genzon templi sanctitatem veritus, re intentata substitit. Petrus inde exasperatus, Genzonem munere abdicavit, et Scribonem misit, qui episcopum ignominiose ad se traduceret. At cives vicatim et cum totis familiis congregati, Scribonem turpiter urbe expellunt; **232** occlusisque urbis portis Mauricium quidem imperatorem faustis vocibus B prosecuti, ducem probris palam proscidere: atque ita demum Petrus turpiter inde recessit. Cum vero mille homines speculatum præmisisset, hi in Bulgarorum turmam numeri ejusdem incidere. At Bulgari, paci, quæ cum Chagano intercedebat, confisi, securi citra ullam suspicionem progrediebantur. Cum autem Romani eos adorirentur, Bulgari viros septem delegavere, qui Romanis pacem haud ita solvendam esse persuaderent. Quæ ubi præcursores audiverunt, duci confestim retulere. Dux vero, Neque si imperator ipse advenerit, inquit, eis parcam. Consertaque pugna Romani in fugam vertuntur: nec tamen eos insecuti sunt Barbari, ne victoriam ardentius amplexati, in insidias inciderent. C Dux porro præcursorum præfectum virgis acriter cædi imperavit. Quod cum ad Chaganum renuntiatum fuisset, legatos ad Petrum decrevit, qui hostilem hanc aggressionem incusantes, Romanos nulla justa de causa pacem solvisse quererentur. Sed Petrus hanc suorum incursionem se plane ignorasse blandis ac fraudulentis verbis astruxit: duplicata se nihilominus ipsis spolia dare omnia: atque ita Barbari spoliis, quæ amiserunt, dupla forte receptis, pacem servavere. Cæterum Petrus contra Peregastum Sclavinorum præfectum expeditionem suscepit. At Barbari secundum fluminis ripam Romanis obviam facti, eos amnem trajicere prohibebant. Romani contra e vectoriis navibus tela mittentes,

VARIÆ LECTIONES.

[54] καταλιποῦντας vulg., καταλιπόντα A. [55] ἐκάθηντο ἔνδον om. A f. [56] αἰδοῖ A, αἰδῷ vulg. [57] πανοικεὶ A, πανοικὶ vulg. [57*] συνηγμένοι b. [58] ἐκεῖθεν add. ex A. [59] τῇ add. ex A. [60] τὰς τομὰς e. [61] Βούλγαροι A alii codd., Βουλγάρεις vulg. [62] ἄνδρας om. A. [63] τῷ στρατηγῷ A, τὸν στρατηγὸν vulg. [64] παρέλθῃ A, [64*] τούτων A, τούτοις vulg. [65] συμβ. δὲ πολέμου γενομ. A. [66] τὰ om. A. [67] τὴν ὄχθην A, τὴν ὄχθαν vulg.

JAC. GOARI NOTÆ.

(22) Cap. 3, ἕνα τινὰ τῶν τοῦ βασιλέως σωματοφυλάκων, ὃν Σκρίβωνα Ῥωμαῖοι κατονομάζουσι· *Unum quempiam imperatoris satellitum, quem Romani Scribonem vocant*. Suidas, σκρίβων ὁ τῶν σωματοφυλάκων ὑπερφερόμενος, *satellitum primicerius*. Plura Rigaltius in Glossario tactico.

(23) Simoc. lib. VII, cap. 4 sic exprimit: λαμπροῖς δώροις καὶ λαφύρων ζημίαις. *Amplis muneribus, ac spoliis restitutis*, etc., quod est illud duplum reddere. COMBEFIS.

(24) Simocatta, Πειραγάστου. *Pergastum* scribit Anastasius.

D (25) Sic legit Anast. cum reddit, *a fretis sagittantes*; Theophyl. citatus, ἀπὸ τῶν πορθμιδίων κατατοξεύοντες, *e vectoriis naviculis tela mittentes*, quod et reddidit interpr. Quanquam exiguo amne, qualem idem auctor describit, potuerint Romani in adversam ripam ad angusta freta sagittas mittere, exque ea hostes depellere: uti paulo post habetur, Barbaros ex ripa alia Romanos adaquantes telis divexasse, ac tandem profligasse; nec forte naves vectoriæ sic facile Romanis ad manum fuere. COMBEFIS.

Barbaros averterunt. Dumque in fugam vertuntur, Peregastus ilio sauciatus, moritur. Romani ergo flumen transgressi, præda maxima coacta in propria loca se recepere. Sed ductores recta via aberrantes, et in arida inaquosaque loca deflectentes, exercitum in magnum conjecere periculum. Iter porro noctu peragentes, diverterunt ad Ilbacium amnem. Barbari vero in insidiis, quas trans flumen collocaverant, delitescentes, in Romanos, qui haustum venerant, tela jaculabantur. Ex quo Romani cum magna clade afficerentur, a Barbaris demum debellati versi sunt in fugam. Mauricius his auditis Petrum officio privavit, et Priscum iterum Thraciæ ducem delegavit.

A. C. 590. — Hoc anno dux Priscus in Thraciam **233** profectus exercitum recensuit, et magnam militum manum ex eis periisse et desiderari comperit. Iis eductis ad Istrum fluvium Novas se contulit. Quibus cognitis Chaganus legatos profectionis causam sciscitaturos misit. Priscus venandi gratia se accessisse prætexere. Ad quem Chaganus : Nefas, ait, alieno in solo te venatum exercere. Priscus contra proprium asserere fundum, et Chaganum ex Oriente transfugam affirmare et exprobrare. Eapropter Barbarus eversis Singidonis mœnibus, in Romanam ditionem penetravit. Eo comperto ad Istri insulam confert se Priscus, et conscensis agitatisque dromonibus, Chaganum allocuturus Constantiolam proficiscitur. Ad fluminis autem ripam consistenti Chagano Priscus e navigio colloquium habebat. Tum Chaganus ad Priscum : Quid tibi, amabo, Prisce, cum ditione mea? ut quid eam dolis occupare moliris? et e manibus meis eripere? judicabit Deus inter me et imperatorem Mauricium : et ex ejus manibus mei Romanorumque exercitus sanguinem reposcet. Ad hæc Priscus : Non urbem unam nobis eripere conaris. Cui Chaganus respondit : Scito quinquaginta alias Romani imperii urbes Barbarorum virtute subigendas te brevi conspecturum. Priscus vero navibus ad Singidonem applicatis, urbem depopulatus, Bulgaros ex ea ejecit, et murum exædificare cœpit. At Chaganus legatis ad eum missis, fictorum deorum fidem obtestatus, de iis, quæ commiserat, apud ipsummet graviter conquestus est. Ingruente porro hieme uterque patrios lares revisit. Hoc etiam anno Petrus Mauricii frater sanctæ

A τῆς [68] λαγόνος ὁ Πηρέγαστος καὶ θνήσκει. Περάσαντες δὲ οἱ Ῥωμαῖοι αἰχμαλωσίας πολλῆς ἐκράτησαν, καὶ εἰς τὰ ἴδια ἐπανέζευξαν. Πλανηθέντων δὲ τῶν ὁδηγῶν καὶ ἀνύδροις [69] τόποις περιπεσόντες, ἐκινδύνευε τὸ στρατόπεδον· βαδίσαντες δὲ διὰ τῆς νυκτὸς, περιτυγχάνουσιν τῷ Ἰλβαχίᾳ [70] ποταμῷ. Λόχμης δὲ εἰς τὸ ἀντίπερα ὑπούσης [71] τῷ ποταμῷ, οἱ βάρβαροι ἐν ταύτῃ κρυπτόμενοι, τοὺς ἀρυομένους [72] τὸ ὕδωρ ἐτόξευον· μεγάλης τοίνυν ἐπηρείας τοῖς Ῥωμαίων [73] γενομένης στρατεύμασιν, πρὸς φυγὴν ἐχώρησαν, καταπολεμηθέντες ὑπὸ τῶν βαρβάρων. Ὁ δὲ Μαυρίκιος ταῦτα ἀκηκοὼς τὸν Πέτρον τῆς [74] στρατηγίας ἀπέπαυσεν, καὶ τὸν Πρίσκον πάλιν στρατηγὸν τῆς Θρᾴκης ἀπέστειλεν.

B A. M. 6090. — Τούτῳ τῷ ἔτει Πρίσκος στρατηγὸς ἐξῆλθεν (26) ἐν τῇ Θρᾴκῃ, καὶ τὰς δυνάμεις ἠρίθμησεν, καὶ εὗρεν ὅτι πλῆθος πολὺ διεφθάρη ἐξ αὐτῶν. Τούτους δὲ ἀναλαβὼν [75] παραγίνεται εἰς τὸν Ἴστρον ποταμὸν εἰς Νόβας [76] (27). Ὁ δὲ Χαγάνος τοῦτο μαθὼν πρέσβεις ἐξέπεμψεν τὴν αἰτίαν πυνθανόμενος τῆς ἀφίξεως. Ὁ δὲ Πρίσκος προεφασίσατο διὰ κυνηγέσια ἐληλυθέναι. Ὁ δὲ Χαγάνος, Οὐ δίκαιόν ἐστι, φησὶν, ἐν ἀλλοτρίῳ τόπῳ κυνηγεῖν· ὁ δὲ Πρίσκος ἴδιον ἔλεγεν εἶναι τὸν τόπον, καὶ τὴν ἐξ ἀνατολῆς ἀπόδρασιν τῷ Χαγάνῳ ὠνείδιζεν. Ὁ δὲ βάρβαρος τῆς Σιγγιδόνος τὸ τεῖχος κατέλυσεν· καὶ ἐπὶ τὴν τῶν Ῥωμαίων γῆν ἐχώρει. Τοῦτο μαθὼν ὁ Πρίσκος παραγίνεται εἰς τὴν νῆσον τοῦ Ἴστρου, καὶ παραλαβὼν

C δρόμωνας, παραγίνεται πρὸς τὸν Χαγάνον εἰς Κωνσταντίολαν [77], θέλων αὐτῷ ὁμιλῆσαι. Ἐλθόντι δὲ τῷ Χαγάνῳ πρὸς τὴν ὄχθην τοῦ ποταμοῦ, ὁ Πρίσκος ἀπὸ τῆς νηὸς διελέγετο. Ὁ δὲ Χαγάνος ἔφη πρὸς αὐτόν· Τί σοι, Πρίσκε, καὶ [78] τῇ γῇ τῇ ἐμῇ; καὶ ταύτην βούλει διὰ ψεύδους λαβεῖν ἐκ τῶν χειρῶν μου; κρινεῖ ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ Μαυρικίου τοῦ βασιλέως. Ἐκζητήσει τὸ αἷμα τοῦ στρατοῦ τῶν Ῥωμαίων, καὶ τοῦ στρατοῦ τοῦ ἐμοῦ ἐκ τῶν χειρῶν αὐτοῦ. Ὁ δὲ Πρίσκος ἔφη [79]· Οὐ μίαν πόλιν ἐγχειρεῖς παρ' ἡμῶν λαβεῖν. Ὁ δὲ Χαγάνος· Ὄψει μετ' ὀλίγον πεντήκοντα πόλεις Ῥωμαϊκὰς δουλουμένας [80] βαρβάροις. Ὁ δὲ Πρίσκος διὰ τοῦ ποταμοῦ τὰς ναῦς τῇ Σιγγιδόνι παραστησάμενος, ταύτην ἐπόρθησεν, καὶ

D τοὺς Βουλγάρους ἐξ αὐτῆς ἐξεδίωξεν, καὶ τὸ τεῖχος κτίζειν ἀπήρξατο. Ὁ δὲ Χαγάνος ἀγγέλους πρὸς αὐτὸν [81] ἀπέστειλεν, καὶ τοὺς ψευδωνύμους ἑαυτοῦ θεοὺς διεμαρτύρετο καταιτιώμενος τῶν γενομένων τὸν Πρίσκον. Χειμῶνος δὲ καταλαβόντος, ἑκάτεροι

VARIÆ LECTIONES.

[68] τῆς add. ex A. [69] καὶ ἐν ἀν. A. [70] Ἰλβαχίᾳ A a f, Ἰλβαχίῳ vulg. [71] ὑπούσης A, ὑπιούσης vulg. [72] τοὺς ἀρυομένους A a f, τοῖς ἀρυομένοις vulg. [73] Ῥωμαίων A, Ῥωμαίοις vulg. [74] τῆς add. ex A. [75] ἀναλαβὼν A, παραλαβὼν vulg. [76] Νόβας A e f, νομὰς vulg.; vid. supra p. 423. [77] Κωνσταντίολα A. [78] καὶ ante τῇ γῇ add. ex A. [79] post ἔφη lacunæ signa expunxi, sed mox ante ὄψει ex A addidi : ὁ δὲ Χαγάνος. [80] δουλουμένας a, δουλομ. vulg. [81] ἀγγέλους πρὸς αὐτὸν A, πρὸς αὐτὸν ἀγγ. vulg.

JAC. GOARI NOTÆ.

(26) Alterius anni gesta declarant hæc Simocattæ verba lib. VII, cap. 7 : Ἦρος ἀρχομένου, καὶ ὁ Πρίσκος τοῦ Βυζαντίου ἀποφοιτᾷ· *Initio veris Priscus Byzantio discedit*. Decimum et undecimum capita compendiose hic recitantur.

(27) Νόβας etiam legit Anast. Theophyl. lib. VII, c. 7 : Τὸν Ἴστρον ποταμὸν διαπεραιωθεὶς, τετάρτῃ ἡμέρᾳ καὶ εἰς Νόβας τὰς ἄνω ὁ στρατηγὸς παραγίνεται· *Trajecto Istro, quarta die Priscus etiam Novas superiores venit :* alia nimirum ejusdem nominis in Romana ipsa ditione exsistente urbe. COMBEFIS.

εἰς τὰ ἴδια ἀνεχώρησαν [82]. Τῷ δ' αὐτῷ ἔτει Πέτρος ὁ ἀδελφὸς Μαυρικίου ἔκτισεν τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου τῶν Ἀραβίνδα [83] κοσμήσας αὐτὴν ἐκ διαφόρων μαρμάρων· ὁμοίως καὶ Κυριακὸς ὁ πατριάρχης [84] τὰ Διακονίσσης [85] τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου.

A. M. 6091. — Τούτῳ τῷ ἔτει συναθροίσας ὁ Χαγάνος (28) τὴν αὐτοῦ δύναμιν [86] (29) ἐπὶ τὴν Δαλματίαν ἐχώρησεν. Καὶ καταλαβὼν τὴν Βάλβην [87] καὶ τὰς περὶ αὐτὴν τεσσεράκοντα πόλεις [88] πάσας ἐπόρθησεν. Ὁ δὲ Πρίσκος ταῦτα μεμαθηκὼς Γουνδούην ἐπὶ τῇ κατασκοπῇ τῶν πραττομένων ἀπέστειλεν· καὶ καταλαβὼν τοὺς βαρβάρους διὰ δυσβάτων χωρίων τὴν βάδισιν [89] ποιουμένους, περιτυγχάνει δύο βαρβάροις [90] τῷ οἴνῳ κεχαρωμένοις· καὶ τούτους διηρώτα ὁ Γουνδούης τὰ τῶν βαρβάρων κινήματα. Οἱ δὲ ἔφασαν [91], δισχιλίοις ὁπλίταις τὴν αἰχμαλωσίαν τὸν Χαγάνον παραδεδωκέναι, καὶ πρὸς τὰ οἰκεῖα ἀποστεῖλαι. Ταῦτα ὁ Γουνδούης μεμαθηκὼς κρύπτεται ἐν μικρᾷ φάραγγι, καὶ ἐξ ἑωθινοῦ [92] ἐπὶ τὰ νῶτα τούτων [93] γενόμενος, ἀθρόως πάντας ἀνεῖλεν· καὶ τὴν αἰχμαλωσίαν λαβὼν πρὸς τὸν Πρίσκον ἤγαγεν. Ὁ δὲ Χαγάνος τὰ τῆς ἀποτυχίας μαθὼν [94] εἰς τὴν ἑαυτοῦ ἐπανέζευξεν χώραν· καὶ ὁ Πρίσκος ὑπέστρεψεν εἰς τὰ ἴδια.

A. M. 6092. — Τούτῳ τῷ ἔτει ἰνδικτιῶνι γ' μηνὶ Μαρτίῳ ἀναλαβὼν τὰς δυνάμεις ὁ Πρίσκος ἐπὶ τὴν Σιγγιδόνα παραγίνεται. Ὁ δὲ Χαγάνος συναθροίσας τὴν ἑαυτοῦ δύναμιν ἄφνω τῇ Μυσίᾳ ἐφίσταται [95], καὶ τὴν Τομοσίαν (30) πόλιν [96] ἐνεχείρει λαβεῖν. Διὰ τοῦτο καὶ [97] Πρίσκος τὴν Σιγγιδόνα καταλιπὼν, τούτῳ ἐπλησίαζεν. Τῆς δὲ ἑορτῆς τοῦ πάσχα καταλαβούσης, καὶ τῶν Ῥωμαίων λιμῷ τηκομένων, ἀκηκοὼς ὁ Χαγάνος τῷ Πρίσκῳ ἐδήλου ἁμάξας ἐκπέμψαι πρὸς αὐτὸν ὅπως δαπανήματα ἀποστείλῃ [98] αὐτοῖς, ἵνα μετὰ ἱλαρότητος τὴν ἑαυτῶν ἑορτὴν ἐκπληρώσωσιν. Τετρακοσίας (31) τοίνυν [99] ἁμάξας πληρώσας τούτοις ἐξέπεμψεν· ὁμοίως καὶ ὁ [1] Πρίσκος εἴδη τινὰ Ἰνδικὰ ἀντέπεμψεν [2] τῷ βαρβάρῳ· πέπερί τε [3] καὶ φύλλον Ἰνδικὸν καὶ κόστον καὶ κασσίαν, καὶ ἕτερα τῶν ἐπιζητουμένων [4]· καθεζομένου τοῦ Χαγάνου εἰς τὸ Θέρμιον (32), καὶ ταῦτα δεξάμενος ἥσθη ἐπ' αὐτοῖς· καὶ μέχρι τοῦ πληρωθῆναι τὴν ἑορτὴν Ῥωμαῖοί τε καὶ βάρβαροι ἀλλήλοις συνηυλίζοντο· καὶ οὐκ ἦν φόβος ἐν ἑκατέραις δυνάμεσιν. Τῆς δὲ ἑορτῆς πλη-

A Deiparæ Arabindarum ecclesiam diversis marmoribus ornatam exstruxit. Ad Diaconissæ pariter compitum Cyriacus patriarcha sanctæ Deiparæ ecclesiam posuit.

A. C. 591. — Hoc anno Chaganus collectis omnibus copiis in Dalmatiam suscepit expeditionem : Balben vero et circumposita quadraginta oppida omnia devastavit. Rei fama excitus Priscus Gunduem quæ ab hostibus admissa fuerant exploratum misit. Ille locis plane imperviis iter agens, Barbaros duos vino graves offendit, eosque de Barbarorum consiliis interrogat. Respondent illi : Millibus hominum duobus bene armatis Chaganum
B prædam commendasse, eamque omnem ad Bulgaris domesticos lares agi. Eo comperto, Gundues in angusta valle occultatur, et hostes a tergo 234
summo diluculo adortus, ex improviso, cunctos confertim occidit : et recuperatam prædam ad Priscum reduxit. Chaganus clade cognita propriam repetit regionem, et Priscus pariter domum revertitur.

A. C. 592. — Hoc anno, indictione tertia, mense Martio, Priscus educto exercitu Singidonem versus proficiscitur. Chaganus ex adverso collectis viribus ex inopinato in Mysiam irrumpit, et Tomosiam urbem occupare molitur. Quare Singidone relicta
C Priscus ad eum proximus accessit. Imminente vero paschali celebritate, Romanis fame tabefactis, cum eorum penuriam percepisset Chaganus, convehendo commeatui currus, quos etiam cibis onustos instrueret, ad ipsum mitti Prisco significat : ut proprium sibi festum Romani cum epulorum gaudio peragerent. Currus itaque quadringentos cibis probe refertos ad eos destinavit. Priscus etiam vicissim species Indicas, piper nimirum, folium Indicum, costum, cassiam, et alia postulata misit ad Barbarum, qui tum ad Thermium sedem posuerat : et id muneris lætantissime accepit : atque ita donec festi celebritas expleretur, Romani cum
D Barbaris permistim et absque discrimine conversabantur ; nec in alterutrius castris terroris su-

VARIÆ LECTIONES.

[82] ὑπεχώρησαν A. [83] Ἀραβίνδα A alii, Ῥεοβίνδα vulg. [84] Κυρ. ὁ πατρ. A. ὁ Κυρ. πατρ. vulg. [85] fort. κατὰ Διακ. [86] τὰς περὶ αὐτὸν δυνάμεις A. [87] Βάλχης A. [88] τεσσεράκοντα πόλεις] μ' πόλεις A, μητροπόλεις vulg. [89] τὴν βαδικὴν A. [89*] ποιουμένους A, ποιούμενος vulg. [90] βαρβάρους — κεχαρωμένους A. [91] ἔφασαν A, ἔφησαν vulg. [92] ἐξεωθῆναι f. [93] τούτων A, τούτου vulg. [94] πρὸς τὸν Π. — — — μαθὼν om. A. [95] ἐφίσταται A, ἐπίσταται vulg. [96] πόλιν] πάλιν A. [97] καὶ ante Πρ. add. ex A. [98] ἀποστείλῃ A, ἐκπέμψῃ vulg. [99] τοίνυν A, οὖν vulg. [1] καὶ ὁ A, δὲ ὁ vulg. [2] ἀντέπεμψεν A. ἐξέπεμψεν vulg. [3] πέπερί τε A, πίπερ τε vulg. [4] ἐπιζητουμένων A, ζητουμένων vulg.

JAC. GOARI NOTÆ.

(28) Capitis duodecimi epitome, quo locus Βάλβης scribitur Βάγκεις.

(29) A cap. 13 l. 7 ad ejusdem finem ista leguntur : quæ paulo superius cap. 12 circa annum Mauricii decimum nonum contigisse testatur Simocatta : moxque ad res anno altero visas exponendas transit.

(30) Idem, Τομέαν. Anastasius quoque *Tomeam*. Miscella, *Comeam*. — Leg. Τομαίαν ex Theophyl. et Anast. quæ superius nominata fuit. COMBEFIS.

(31) Parem numerum cuncti codd. referunt. Anastasius et *Miscella*, *quadraginta*.

(32) Ita cuncti codices : *Sermium* ponit Anastasius, Miscella *Sirmium*.

spicio ex hujusmodi societate exorta est. Diebus vero solemnibus jam elapsis Barbari a Romanis sejunguntur. Porro Mauricius suppetiis Prisco ferendis cum pedestri militum manu Comentiolum misit. Chaganus nuntio accepto, adversus Comentiolum expeditione suscepta, ad trigesimum lapidem a Comentioli exercitu castra posuit. Quare Comentiolus in magnas mentis angustias adductus legationem ad Chaganum destinavit. Mauricium sane Comentiolo mandasse ut Romanum exercitum a tumultibus concitandis deinceps compescendum adversariis proderet, quorumdam rumor exstitit. Porro media nocte milites armari jussit, nec tamen se prælium initurum esse significavit : unde milites exercitationis tantum ergo arma capessenda se jussos arbitrati, non ut decuit pro certamine sustinendo sunt instructi. Adventante luce, et jam Barbaris irruentibus, ingens tumultus totum exercitum pervadit. Sane Comentiolus ipse turbabat ordines, et confusionis auctorem omnino se præbebat, **235** atque ita Romani in fugam versi sunt. Barbari nulla militiæ lege compositum exercitum operti, summa inhumanitate cunctos trucidant. Comentiolus turpi fuga ad Drizipera salutem quæsivit, quem cives contumeliis lapidibusque emissis, urbe expellunt. Tum vero Barbari Drizipera profecti, civitate direptioni tradita, in sancti Alexandri templum incendio grassati sunt, cumque sepulcri thecam argento ornatam reperissent, illusis prius et contemptis martyris reliquiis, ornamentum omne sacrilege spoliavere : inde coacta per totam Thraciam præda, collectisque captivis, ipsi, multitudine armis, ordine, necesssariis bene instructa, in Romanos insultabant. Inde Comentiolo Byzantium reverso, ingens ex timore perturbatio animorumque procella toti urbi incubuit : adeo ut præ nimio timore, de relinquenda Europa, et transmigratione in Asiæ Chalcedonem consilium aperte iniretur. Imperator autem excubitorum satellitio stipatus, collecto armatorum militum globo Longum murum tutabatur : urbem vero populi factiones custodiebant, senatu legationem ad Chaganum decernendam suadente. Porro Deus injurias martyri Alexandro irrogatas ulturus morbum pestilentem in Barbaros immisit, qui uno solo die febri ex bubone orta septem Chagani liberos cum innumera

A ρωθείσης διαχωρίζονται ἀπὸ τῶν Ῥωμαίων οἱ βάρβαροι. Ὁ δὲ Μαυρίκιος ἐπὶ συνάρσει δῆθεν τοῦ Πρίσκου Κομεντίολον ἀπέστειλεν μετὰ πεζικῆς δυνάμεως. Τοῦτο μαθὼν ὁ Χαγάνος (33) ἐπὶ Μυσίαν [5] κατὰ Κομεντιόλου στρατεύεται ἀπὸ τριάκοντα σημείων τοῦ Κομεντιόλου. Ὁ δὲ Κομεντίολος ἐναπορῶν ἄγγελον πρὸς τὸν Χαγάνον ἐξέπεμψεν. Φασὶ δέ τινες τὸν Μαυρίκιον ὑποθέσθαι τῷ Κομεντιόλῳ, ὅπως τὸ [6] Ῥωμαϊκὸν στράτευμα παραδώσῃ πολεμίοις διὰ τὰς ἀταξίας αὐτῶν. Νυκτὸς δὲ μεσούσης ἐκέλευσεν τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγυμνώσας τοῖς ὄχλοις μέλλειν πόλεμον συστήσασθαι. Αὐτοὶ δὲ ὑπειληφότες ὅτι γυμνασίας ἕνεκεν σιδηροφορεῖν αὐτοὺς ἐκέλευσεν, οὐχ ὡς ἔδει ὡπλίσαντο. Ἡμέρας δὲ γενομένης καὶ τῶν βαρβάρων καταλαβόντων, θρύλλος πολὺς τὸν B στρατὸν κατέλαβεν. Ὁ δὲ Κομεντίολος τὰς τάξεις ἐτάραττεν, καὶ αἴτιος αὐτοῖς ἀκαταστασίας [7] ἐγένετο. Οὕτω μὲν οὖν οἱ [8] Ῥωμαῖοι πρὸς φυγὴν ἐτρέποντο. Οἱ δὲ βάρβαροι ἀστρατήγητον τὸν λαὸν εὑρηκότες, ἀνηλεῶς τούτους ἐφόνευον. Ὁ δὲ Κομεντίολος ἀσχήμῳ φυγῇ ἐπὶ τὰ Δριζίπερα [9] γίνεται· οἱ δὲ τῆς πόλεως ὕβρεσι καὶ λίθοις βάλλοντες αὐτὸν, τοῦ ἄστεως ἀποπέμπουσιν. Οἱ δὲ βάρβαροι ἐπὶ τὰ Δριζίπερα ἐλθόντες, τήν τε πόλιν ἐπόρθησαν καὶ τὸν ναὸν τοῦ ἁγίου [10] Ἀλεξάνδρου ἐνέπρησαν· τόν τε τάφον αὐτοῦ ἠργυρωμένον εὑρόντες, ἀνοσίως σκυλεύουσι. Καθυβρίσαντες [11] δὲ καὶ τὸ σῶμα τοῦ μάρτυρος, καὶ πολλὴν ἐν τῇ Θρᾴκῃ αἰχμαλωσίαν ποιησάμενοι, ἐν ὄχλῳ λαμπρῷ (34) Ῥωμαίων [12] κατεπαιρόμενοι. Τοῦ C δὲ Κομεντιόλου ἐν τῷ Βυζαντίῳ καταλαβόντος, μέγιστος τάραχος καὶ κλύδων τῇ πόλει ἐνέσκηψεν· ὥστε φοβηθέντες βούλεσθαι τὴν Εὐρώπην καταλιπεῖν, καὶ πρὸς τὴν Ἀσίαν ἐν τῇ Χαλκηδόνι μετοικισθῆναι. Ὁ δὲ βασιλεὺς τά τε ἐξκούβιτα ἀναλαβὼν, καὶ ὁπλιτικὸν συλλεξάμενος ὅμιλον, τὰ Μακρὰ διεφρούρησε τείχη. Οἱ δὲ δῆμοι τὴν πόλιν ἐφύλαττον· καὶ ἡ σύγκλητος παρῄνει τὸν βασιλέα πρεσβείαν πρὸς τὸν [13] Χαγάνον ἐκπέμψαι. Ὁ δὲ Θεὸς τὴν ἐκδίκησιν τοῦ μάρτυρος Ἀλεξάνδρου ποιούμενος, λοιμικὴν νόσον τοῖς βαρβάροις ἔπεμψεν· καὶ ἐν μιᾷ ἡμέρᾳ ἑπτὰ υἱοὺς τοῦ Χαγάνου διὰ πυρετοῦ καὶ βουβῶνος ἀπέκτεινε σὺν πολλοῖς ἄλλοις [14] ὄχλοις· ὥστε ἀντὶ χαρᾶς ἐπινικίου καὶ παιάνων καὶ ᾀσμάτων θρήνους [15] καὶ δάκρυα καὶ πένθη ἀπαρηγόρητα ἔχειν [16] τὸν βάρβαρον. Ἡ δὲ D σύγκλητος παρεκάλει τὸν Καίσαρα τὸν βάρβαρον πρεσβεῦσαι [17] εἰς τὰ Δριζίπερα (35), ὅστις λόγοις

VARIÆ LECTIONES.

[5] ἐπὶ Μυσ. A, ἐπὶ τὴν Μ. vulg. [6] τὸ add. ex A. [7] ἀκαταστασίας om. A b e. [8] οἱ add. ex A. [9] Δριζίπερα A ubique, Δριζήπερα vulg. [10] τοῦ ὁσίου Ἀλ. a. [11] καθυβρίσαντες A, καθυβρίζουσι vulgo. [12] ἐνώχλουν τῷ λαμπρῷ Ῥωμανῷ A e. [13] παρῄνει τὸν βασιλέα πρεσβείαν πρὸς τ. Χ. A, παρῄνει πρὸς τὸν Χ. πρεσβείαν vulg. [14] σὺν πολλοῖς ἄλλοις A, σὺν πολλ. καὶ ἄλλ. vulg. [15] θρήνους A, θρῆνον vulg. [16] ἔχειν] εἶχον A, εἶχεν vulg. [17] τὸν Καίσαρα πρεσβεῦσαι τὸν Χαγάνον A, sed nomen legati ubique omittitur, qui apud Simocatt. VII, 15, Harmato appellatur : fortasse igitur legendum est : παρεκάλει τὸν Καίσαρα πρεσβεῦσαι τὸν Ἁομάτωνα εἰς Δριζίπερα.

JAC. GOARI NOTÆ.

A τὸ πλῆθος τῆς πόλεως, καὶ πάντες ἐπὶ τοῖς πραττομένοις ἐδυσχέραινον, ἐπαρώμενοι τὸν στέφοντα καὶ τὸν στεφόμενον, καὶ τοὺς τούτοις συγχαίροντας. Καὶ οἱ μὲν εὐλαβείᾳ καὶ λόγῳ συζῶντες τὴν θείαν κρίσιν ἐθαύμαζον, ὅπως συνεχώρησεν ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀθλήσασαν [42] καὶ μαρτυρήσασαν, ὑπὸ συβώτου [43] ἐκβληθῆναι τῶν [44] εὐνουστάτων αὐτῆς προσθεμένων αὐτῷ διὰ φιλαργυρίαν, Λέοντος, φημὶ [45], πατρικίου καὶ σακελλαρίου τοῦ Σινωπέως, καὶ τῶν θεοστυγῶν Τριφυλλίων, καὶ τῶν ἀνωτέρω [46] εἰρημένων πατρικίων, οἵτινες δωρεαῖς πλείσταις ὑπ' αὐτῆς κατεπλουτίσθησαν, καὶ πολλάκις συνεσθίοντες αὐτῇ, καὶ κολακείαις μεθ' ὅρκων πείθοντες φρικτῶν πάντων τῶν ἐν κόσμῳ πραγμάτων ἀναγκαιοτέραν ἡγεῖσθαι τὴν πρὸς αὐτὴν εὔνοιαν. Ἄλλοι δὲ B ὡς ἐν ἐκστάσει τῶν γινομένων, οὐκ αἰσθόμενοι τὴν βεβαίωσιν, ὀνειροπολεῖσθαι ἐνόμιζον. Ἕτεροι δὲ τῶν εὖ εἰδότων στοχάζεσθαι, τὴν παρελθοῦσαν εὐημερίαν ἐμακάριζον, καὶ τὴν μέλλουσαν ἔσεσθαι δυστυχίαν διὰ τῆς τυραννίδος ἐθρήνουν, μάλιστα δὲ ὅσοι τῆς πονηρᾶς γνώμης τοῦ τυράννου πεῖράν τινα προειλήφασι. Κοινὴ [47] δὲ πάντας κατεῖχεν ζόφωσις καὶ ἀπαράκλητος ἀθυμία, ἵνα μὴ κατὰ μέρος τῆς ἐλεεινῆς τὰ ἀκαλλῆ ῥήματα γράφων μηκύνω τὸν λόγον. Ἦν γὰρ παρὰ φύσιν καὶ τοῦ ἀέρος κατ' αὐτὴν ἀθρόον τὸ κατάστημα συμβὰν σκυθρωπὸν καὶ ἀφώτιστον, καὶ κρύος [48] ἀκατάλλακτον φθινοπωρινῇ [49] ὥρᾳ γενόμενον δηλοῦντα σαφῶς τὴν ἐσομένην αὐτοῦ [50] δυστροπίαν καὶ ἀνύποιστον κάκωσιν, καὶ μάλιστα C τοῖς ψηφισαμένοις. Τῇ γὰρ ἐπιούσῃ παραλαβών τινας τῶν πατρικίων ἀνῆλθεν πρὸς τὴν βασιλίδα φρουρουμένην, ὑποκρινόμενος μὲν τὴν αὐτῷ συνήθη ψευδοχρηστότητα [51], δι' ἧς καὶ ἠπάτησεν τοὺς πιστούς [52] · ἀπολογούμενος δὲ αὐτῇ, ὡς ἀκουσίως ἐπὶ τὴν ἀρχὴν ἀναβιβασθεὶς, καὶ ὡς ἦν [53] ταύτης ἀνόρεκτος, καταρώμενος δὲ τοὺς προβιβάσαντας μὲν αὐτὸν, ἐπιβουλεύσαντας [54] δὲ αὐτῇ, ὡς ὁ προδότης Ἰούδας τὸν Κύριον μετὰ τὸ συνδειπνῆσαι (15), μιμητὰς δὲ ἐκείνου κατὰ πάντα μαρτυρῶν αὐτοὺς εἶναι · ὑποδεικνὺς δὲ καὶ μέλανα ὑποδήματα περικεῖσθαι φιλεῖν παρὰ τοὺς βασιλικοὺς θεσμοὺς διαβεβαιούμενος. Θαρσεῖν δὲ παρῄνει δολερῶς, καὶ μεθ' ὅρκων περὶ πάσης σωματικῆς ἀναπαύσεως ἁρμοζούσης δεσποίνῃ παρὰ δούλου, καὶ μηδεμίαν ἡγεῖσθαι συμφορὰν τῆς ἐκπτώσεως. D Παρῄνει δὲ μηδὲν ἀποκρύψαι ἀπ' αὐτοῦ τῶν βασιλικῶν θησαυρῶν, καὶ κατέκρινε τῆς φιλαργυρίας τὸ πάθος, κατέχειν μὴ φέρων. Ἐνόσει γὰρ αὐτὸ [55] δεινῶς (16) πάσας ἐν τῷ χρυσῷ τιθεὶς τὰς ἐλπίδας ὁ παμφάγος. Ἡ δὲ σοφὴ καὶ θεοφιλὴς Εἰρήνη, καίπερ ὀφείλουσα τῷ τῆς ἀθρόας [56] μεταβολῆς πάθε.

VARIÆ LECTIONES.

[42] μαρτυρικῶς ἀθλήσασαν A. [43] συβώτου A f, συμβώτου a, συμβώνου vulg. [44] τῶν A, τοῦ vulg. [45] εὐνούχου post φημὶ add. A a. [46] καὶ τῶν ἀν. εἰρ. πατρ. add. ex A. [47] κοινὴ A, κοινῇ vulg. [48] κρύους ἀκαταλλάκτου vulg. [49] φθιναπωρινῇ ὥρᾳ A, φθινοπωρινὴ ὥρα vulg. [50] αὐτοῦ add. ex A. [51] τὴν αὐτῷ συνήθη ψευδ. A, ὡς ἦν αὐτῷ σύνηθες, ψευδ. vulg. [52] πιστοὺς A, πλείστους vulg. [53] καὶ ὡς ἦν A, ὡς ἦν vulg. [54] τοὺς προβ. — ἐπιβ. δὲ add. ex A. [55] αὐτὸ A, αὐτὸς vulg. [56] ἀθρόας A, ἀθρόως vulg.

JAC. GOARI NOTÆ.

(15) *Eos qui se provexerant diris devovens, quique illi insidiati erant, haud secus ac Judas Domino post cœnam.* Combefis.

(16) *Damnabat avaritiæ vitium, cum ipse illud celare non posset : graviter enim eo laborabat.* Id.

συνέχεσθαι, ὡς ἅτε γύναιον οὖσα [57], ἔφη γενναίῳ καὶ συνετῷ φρονήματι πρὸς τὸν χθὲς μὲν δοῦλον καὶ ἐπίορκον, σήμερον δὲ μοχθηρὸν ἀνασειστὴν καὶ ἀναιδῆ τύραννον· « Ἐγὼ μὲν, ὦ ἄνθρωπε, Θεὸν ἡγοῦμαι τὸν πρὶν ὀρφανευθεῖσαν ὑψώσαντά με, καὶ ἐπὶ τὸν θρόνον τῆς [58] βασιλείας ἀναξίαν οὖσαν ἀναβιβάσαντά με [59], καὶ τὴν αἰτίαν τῆς καθαιρέσεως ἐμαυτῇ προσάπτω καὶ τοῖς ἐμοῖς ἁμαρτήμασιν. Ἐν πᾶσι δὲ καὶ κατὰ πάντα τρόπον εἴη τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον· κράζουσα τοῦ μόνου [60] Βασιλέως τῶν βασιλέων καὶ Κυρίου τῶν κυρίων, τὸν δὲ τρόπον [61] τῆς σῆς προαγωγῆς τῷ Κυρίῳ ἀποδίδωμι οὗ χωρὶς οὐδὲν γενέσθαι πεπίστευκα. Τὰς δὲ κατὰ σοῦ μοι πολλάκις ἀνενεχθείσας περὶ τῆς νῦν σοι περικειμένης ἀξίας ἀληθεῖς [62], ὡς τὸ τέλος ἀπέδειξε, τῶν πραγμάτων ἀκοὰς, ἃς οὐκ ἀγνοεῖς, αἷς εἰ καὶ συναπήχθην, ἀκωλύτως εἶχον τοῦ ἀνελεῖν σε. Ἀλλὰ τὸ μὲν τοῖς σοῖς ὅρκοις πειθομένη, τὸ δὲ φειδομένη σου πολλοὺς ἐννοήτορας, παρελογησάμην (17) τῷ Θεῷ, καὶ τηνικαῦτα τὰ κατ' ἐμαυτὴν ἀποδοῦσα, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται [63] κρατοῦσι γῆς. Καὶ τὰ νῦν ὡς εὐσεβεῖ σοι καὶ ἐξ αὐτοῦ προβληθέντι, προσκυνῶ σε ὡς βασιλέα. Καὶ αἰτοῦμαι φείσασθαί μου τῆς ἀσθενείας καὶ συγχωρῆσαί μοι τὸν ὑπ' ἐμοῦ κτισθέντα τῶν Ἐλευθερίου οἶκον εἰς ψυχαγωγίαν τῆς ἀσυγκρίτου μου συμφορᾶς. » Ὁ δὲ ἔφη· « Καὶ εἰ τοῦτο θέλεις σοι γενέσθαι, ὄμοσόν μοι εἰς [64] πᾶσαν θείαν δύναμιν μὴ ἀποκρύψαι τι τῶν [65] τῆς βασιλείας θησαυρῶν, καὶ πληρῶ σου τὴν αἴτησιν, καὶ πᾶσάν σου θεραπείαν καὶ ἀνάπαυσιν ποιῶ. » Ἡ δὲ ὤμοσεν αὐτῷ εἰς τὰ τίμια καὶ ζωοποιὰ ξύλα, ὅτι « Οὐκ ἀποκρύψω ἀπὸ σοῦ, ἕως ὀβολοῦ· » ὃ καὶ πεποίηκεν. Ὁ δὲ τοῦ ποθουμένου ἐπιτυχὼν, παρευθὺ ἐξώρισεν αὐτὴν ἐν τῇ νήσῳ τῆς Πριγκίπου, ἐν τῇ μονῇ, ἣν αὐτὴ [66] ᾠκοδόμησεν, ὄντων ἀκμὴν τῶν [67] ἀποκρισιαρίων Καρούλου ἐν τῇ πόλει (18) καὶ ὁρώντων τὰ πραττόμενα. Ὁ γοῦν παμφάγος οὗτος τοῦ κράτους ἐπιλαβόμενος, οὐδὲ κἂν πρὸς [68] βραχὺ ἴσχυσεν ἐπικαλύψαι δι' ὑποκρίσεως τὴν ἔμφυτον αὐτοῦ κακίαν καὶ φιλαργυρίαν· ἀλλ' ὡς δῆθεν μέλλων τὴν ἀδικίαν ἐκκόπτειν, τὸ πονηρὸν ἐν τῇ Μαγναύρᾳ καὶ ἄδικον συνεστήσατο δικαστήριον. Σκοπὸς δὲ τῷ τυράννῳ οὐ τοῖς πτωχοῖς τὰ δίκαια ἀποδιδόναι, ὡς ἔδειξε [69] τὰ πράγματα, ἀλλὰ διὰ τούτου πάντας τοὺς ἐν τέλει ἀτιμάσαι τε [70] καὶ αἰχμαλωτίσαι, καὶ εἰς ἑαυτὸν τὰ [71] πάντα μετενεγκεῖν· ὃ καὶ πεποίη-

A Morbo quippe illo gravius laborabat homo auri voracissimus, spem suam omnem in congestas divitias reponens. Sapiens autem et religiosa Irene, ceu mulier quamvis subita rerum mutatione turbari debuisset, generoso tamen atque prudenti animo eum, qui heri perjurus servus, hodie se gravem exactorem et impudentem tyrannum gerebat **404** allocuta : « Ego quidem, inquit, o homo, orbatam quondam parentibus Deum me extulisse, et ad imperii thronum licet indignam evexisse certa sum, quapropter exauctorationis hujusmodi causam mihi delictisque meis ascribo. In omnibus itaque et per omnem modum sit nomen Domini benedictum. Solum Regem regum omnium et dominorum Dominum obtestata, designationis tuæ modum ad ipsum relatum volo, sine cujus nutu nil nobis posse contigere credidi. B Rumores autem de ea, quam nunc adeptus es, dignitate adversus te sparsos et ad me quoque latos fuisse veros, exitus comprobavit, sed nec eos ignoras : iis si permisissem me abduci, nullo sane resistente periisses. Verum qua juribusjurandis tuis confirmata, qua consciis tuis parcitura, tuis, inquam, qui hæc in me refundis, te tuosque commendatos volui Deo, per quem reges regnant et principes orbi dominantur. Impræsentiarum igitur te tanquam religiosum et ab eo promotum imperatorem veneror. Quapropter infirmitati meæ parcas precor, et in incomparandæ præsentis meæ calamitatis solatium, Eleutherii ædem a me constructam habere me permittas, rogo. » Ad hæc ille: « Hæc si tibi C præstari cupis, per virtutem quamcunque divinam prius jura imperii thesaurorum nihil te occulturam, et confestim petitis acquiescam tuis, et de cultu tibi exhibendo deque quiete relinquenda providebo. » Illa in veneranda et vivifica crucis ligna jurata, « Non abscondam, inquit, vel obolum unicum, » quod et præstitit. Ils desideriorum compos in Principis insulam, in monasterium ab ipsa ædificatum, Caroli legatis adhuc in urbe agentibus et quæ gerebantur spectantibus, eam relegavit. Sane thesaurorum iste helluo potestatem adeptus, ne brevi quidem temporis spatio innatam sibi ad malum pronitatem et avaritiam celare valuit, etiam simulationi addictus; quasi grassantem D vero injustitiam recisurus atque funditus evulsurus esset, scelestum ac plane iniquum tri-

VARIÆ LECTIONES.

[57] γύναιον οὖσα A, γυναῖκα οὖσαν vulg. [58] τῆς add. ex A. [59] με add. ex A. [60] μόνου add. ex A. [61] τὸν δὲ τρ. A, καὶ τὸν τρ. vulg. [62] ἀληθῆς vulg. [63] καὶ δυν. A, καὶ οἱ δ. vulg. [64] εἰς add. ex A. [65] τῶν add. ex A. [66] ἣν αὐτὴ A, ἣ αὐτὴν vulg. [67] τῶν add. ex A. [68] πρὸς add. ex A. [69] ἔδειξαν A. [70] τε add. ex A. [71] τὸ add. ex A.

JAC. GOARI NOTÆ.

(17) Nihil clarius nihilque redditum obscurius. *Qua juramentis tuis fidem habens, qua tibi parcens, plures mihi bene consultum volentes contempsi, jam tum Deo res meas committens.* Æquior longe Nicephoro auctor Vitæ S. Nicephori, quam cum aliis patriarcharum vitis eorum temporum historiam magna ex parte continentibus tomo altero, alteraque illius parte me producturum spero. COMBEFIS.

(18) Eginhardus anno 803 : *Legati imperatoris* (Jesse et Helingandus) *de CP. reversi sunt : et venerunt cum eis legati Nicephori imperatoris qui tunc rempublicam gerebat (nam Irenem post adventum legationis Francicæ deposuerant), quorum nomina fuerunt Michael episcopus, Petrus abbas, Callistus candidatus. Qui venerunt ad imp. in Germania super fluvium Salam, in locum qui dicitur Sels, et conditionem faciendæ pacis in scripto susceperunt.*

bunal ad Magnauram constituit. Is autem tyranno quærebatur finis, non ut pauperibus, quod æquum tribueret, prout exitus manifestavit, sed ut nobiles ac positos in dignitate viros dedecore afficeret, ageret captivos, et eorum bona cuncta ad se derivaret, quod ejus proposito felicissime successit. Universos vero sibi succensentes conspicatus, ac ne forte piæ Irenes beneficiorum memores eam denuo ad rempublicam administrandam revocarent, veritus, mense Novembri, frigore asperrimo jam terris incumbente, inclemens ac nulla in eam pietate motus, in insulam Lesbum deportari, et sub strictissima teneri custodia, **405** et a nemine penitus conspici mandavit. Mense porro Aprilis die tricesimo, Triphyllius Nicetas veneno, ut aiunt, a Nicephoro propinato exstinctus est. Mensis deinde Maii die quarto feria hebdomadis quinta, Nicephorus in Chalcedonis suburbana egressus, cum equo mansuetissimo atque mitissimo insideret, quæ Dei providentia fuit, in terram excussus, dexterum pedem contrivit. Mensis autem Julii die decimo nono, feria hebdomadis quarta, hora prima Bardanes patricius et orientalium dux, qui cognomento Turcus, a thematibus trans fretum positis imperator salutatus est, qui, cum potestatem multum detrectasset, a militibus aufugere non valuit. Is Chrysopolim profectus, circumducto per dies octo exercitu, et ab urbis civibus haud admissus, ad Malagina usque reversus est. Tum vero Dei timore ductus, et, ne forte ejus causa multæ patrarentur cædes, attentius cogitans, missis ad Nicephorum legatis, fidem accepit propria ejus manu scriptam, cui etiam sanctissimus patriarcha Tarasius et patricii omnes subscripsere, qua se suosque omnes incolumes atque impunitos servatum iri sibi cavebat. Die postmodum Septembris octavo sub mediam noctem fugam latenter arripiens, Cium Bithyniæ urbem profectus est in Heraclii monasterium ; ubi cum navigium ab imperatore ad hoc istuc missum invenisset, in eo caput abrasit, ac deinde monastico habitu indutus est. Mox conscenso navigio, in insulam, Proten vulgo dictam, in qua monasterium olim condiderat, trajecit, vesanum Nicephorum tremendi jurisjurandi fidem reveriturum arbitratus, et ab eo nullam se passurum injuriam. Ille vero primum quidem eum facultatibus nudat et, occasione arrepta, cunctos thematum proceres et locupletes viros, inter quos

A χεν. Ἰδὼν δὲ πάντας λυπουμένους κατ αὐτοῦ, καὶ δεδιὼς, μήπως μεμνημένοι τῆς εὐσεβοῦς Εἰρήνης εὐεργεσίας προσκαλέσωνται πάλιν τοῦ [72] κρατῆσαι αὐτὴν, τῷ Νοεμβρίῳ μηνὶ χειμῶνος ἐπικειμένου βαρυτάτου, οὐκ ᾤκτειρεν αὐτὴν ὁ ἄσπλαγχνος, ἀλλ' ἐξώρισεν αὐτὴν ἐν Λέσβῳ τῇ νήσῳ (19) ἀσφαλῶς φρουρεῖσθαι αὐτὴν προστάξας, καὶ παρ' οὐδενὸς [73] ὁρᾶσθαι τὸ σύνολον· τῇ δὲ λ' τοῦ Ἀπριλλίου μηνὸς ἐπετελεύτησεν Νικήτας ὁ Τριφύλλιος, ὥς φασιν, ὑπὸ Νικηφόρου φαρμάκῳ ἀναιρεθείς. Καὶ τῇ δ' τοῦ Μαΐου μηνὸς ἡμέρᾳ ε' ἐξῆλθεν Νικηφόρος κατὰ τὴν Χαλκηδόνα ἐν προαστείῳ, καὶ ἐπιβὰς ἵππῳ πάνυ ἡμερωτάτῳ καὶ πράῳ ἐκ θείας προνοίας [74], τοῦτον καταβαλὼν [75] τὸν δεξιὸν αὐτοῦ πόδα συνέτριψεν. Τῇ δὲ ιθ' τοῦ Ἰουλίου μηνὸς, ἡμέρᾳ δ', ὥρᾳ α'. Βαρδά- B νης ὁ πατρίκιος καὶ στρατηγὸς τῶν Ἀνατολικῶν, τὸ ἐπίκλην [76] Τοῦρκος, ἀνηγορεύθη εἰς βασιλέα ὑπὸ τῶν Περατικῶν θεμάτων, ὅστις πολλὰ παραιτησάμενος, διαδρᾶσαι αὐτοὺς οὐκ ἴσχυσεν· καὶ κατελθὼν ἕως Χρυσοπόλεως, καὶ περιπολεύσας ἡμέρας η', καὶ μὴ δεχθεὶς ὑπὸ τῆς πόλεως, ὑπέστρεψεν ἕως τῶν Μαλαγίνων. Φοβηθεὶς δὲ τὸν Θεὸν, καὶ λογισάμενος, μήποτε δι' αὐτὸν [77] σφαγὴ γένηται Χριστιανῶν, ἀποστείλας δὲ πρὸς Νικηφόρον, καὶ λαβὼν λόγον ἐνυπόγραφον [78] ἐξ ἰδιοχείρου αὐτοῦ, ἐν ᾧ καὶ Ταράσιος ὁ ἁγιώτατος πατριάρχης καὶ πάντες οἱ πατρίκιοι καθυπέγραψαν, ὥστε ἀβλαβῆ αὐτὸν διατηρηθῆναι καὶ ἀζήμιον, καὶ πάντας τοὺς σὺν αὐτῷ, τῇ η' [79] τοῦ Σπτεμβρίου μηνὸς ὥρᾳ μεσονυκτίου C λάθρα διαδρὰς κατῆλθεν ἐν τῇ Κίῳ τῆς Βιθυνίας, εἰς τὴν μονὴν τοῦ Ἡρακλείου, καὶ εὑρὼν τὸ ἀπολυθὲν χελάνδιον τοῦ βασιλέως, ἐπὶ τούτῳ ἀπεκάρθη (20), καὶ ἐνεδύσατο στολὴν μοναδικὴν, καὶ εἰσελθὼν ἐν αὐτῷ [80], ἀπῆλθεν ἐπὶ νήσῳ τῇ λεγομένῃ Πρώτῃ, ἐν ᾗ οἰκοδομήσας ἦν μοναστήριον, οἰόμενος ὅτι αἰδεσθήσεται τὸν φοβερὸν λόγον, ὃν ἔδωκεν αὐτῷ ὁ παραλογιστὴς Νικηφόρος, καὶ οὐ μὴ βλάψῃ αὐτὸν [81] ἐν οὐδενί. Ὁ δὲ πρῶτον μὲν γυμνοῖ αὐτὸν τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἀφορμῆς δραξάμενος πάντας τῶν θεμάτων τοὺς ἄρχοντας καὶ κτήτορας (21), τινὰς δὲ ἐκ τῆς βασιλίδος πόλεως ᾐχμαλώτευσεν, τὸν δὲ στρατὸν ἅπαντα ἀρόγευτον εἴασεν. Καὶ τίς λόγος δυνήσεται [82] πρὸς ἀξίαν διηγήσασθαι τὰ ἐν ταῖς ἡμέραις ἐκείναις πραχθέντα ὑπ' αὐτοῦ ἔργα κατὰ D Θεοῦ παραχώρησιν διὰ τὰς ἁμαρτίας ἡμῶν ; Τῇ δὲ θ' τοῦ Αὐγούστου μηνὸς τῆς ια' ἰνδικτιῶνος ἐτελεύτησεν ἡ βασίλισσα Εἰρήνη ἐν τῇ ἐξορίᾳ τῆς Λέσβου νήσου, καὶ μετηνέχθη [83] τὸ σῶμα αὐτῆς ἐν τῇ

VARIÆ LECTIONES.

[72] τοῦ A, τῶν vulg. [73] παρά τινος μὴ A. [74] προμηθείας A. [75] καταβαλὼν A, καταβάλλων vulg. [76] τὸ ἐπ. A, ὁ ἐπ. vulg. [77] δι' αὐτὸν A, δι' αὐτοῦ vulg. [78] ἐνυπόγρ. A, ὑπόγρ. vulg. [79] τῇ η' A, τῇ δὲ η' vulg. [80] αὐτῷ A, αὐτῇ vulg. [81] αὐτὸν om. A. [82] δυνήσηται vulg. [83] μετηνέχθη A f, μετήχθη vulg.

JAC. GOARII NOTÆ.

(19) Cedr., εἰς Μιτυλήνην, quæ Lesbi insulæ urbs est libera, ex qua dicta Mitylene ipsa insula, ut Ort.: unde et statim idem defunctam ait, ἐν τῇ αὐτῇ Λέσβῳ. Combefis.

(20) *In hunc finem missum caput abrasit.* Sic bene Anast. intellexit; non ut in ipso navigio detonsus sit, quod et sequentibus adversatur, quibus peractis omnibus quæ sunt monasticæ inaugurationis, navigium ingressus dicitur. Id.

(21) Anastasius, *habitatores:* cives potentiores intellige.

A νήσῳ τῆς Πριγκίπου, ἐν τῇ μονῇ, ἣν [84] αὐτὴ ᾠκοδόμησεν.

ex imperante urbe nonnulli, in captivitatem misit, universum autem exercitum debitis stipendiis defraudavit. Admissa porro diebus illis ab eo scelera, Deo propter alia crimina nostra illa tolerante, quæ oratio valeat enarrare? Cæterum mensis Augusti die nono, indictione undecima imperatrix Irene in Lesbum insulam relegata diem obiit: in insulam autem Principi in monasterium, quod ipsa condidit, corpus ejus translatum fuit.

Α. Μ. 6296. — Τούτῳ τῷ ἔτει, μηνὶ Δεκεμβρίῳ, ἰνδικτιῶνι ιβ', ἔστεψεν Νικηφόρος τὸν υἱὸν αὐτοῦ Σταυράκιον διὰ Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς Μεγάλης Ἐκκλησίας εἰς βασιλέα, ἀποίητον ὄντα κατὰ πάντα τῇ τε ἰδέᾳ καὶ ῥώμῃ καὶ γνώμῃ πρὸς τὴν τοιαύτην ἀξίαν. Ὁ δὲ μήποτε ἐν μηδενὶ φυλάξας ἀλήθειαν Νικηφόρος Λυκάονάς τινας, ἢ λυκανθρώπους, ὁμογνώμονας καὶ ὁμόφρονας ἀποστείλας εἰς τὴν Πρώτην ἐκέλευσεν νυκτὸς ἐπιβῆναι B τῇ νήσῳ, καὶ τὸν προῤῥηθέντα ἐκτυφλῶσαι Βαρδάνιον, ὡς δῆθεν ἀγνοοῦντος αὐτοῦ, καὶ μετὰ τὸ δρᾶμα προσφυγεῖν τῇ ἐκκλησίᾳ. Τούτου δὲ γεγονότος ὅ τε [85] πατριάρχης καὶ ἡ σύγκλητος δεινῶς ἤλγησαν, καὶ πάντες οἱ φοβούμενοι τὸν Θεόν. Ὁ δὲ παρανομώτατος βασιλεὺς Νικηφόρος ὅρκοις τοὺς ἐν τέλει Λυκάονας, τὸ δοκεῖν, ἐπεζήτει ἀνελεῖν, ἀμύνασθαι σχηματιζόμενος, ὁ πάντα κατ' ἐπίδειξιν ἀεὶ, καὶ μηδὲν κατὰ Θεὸν πράττων. Ἦν γὰρ αὐτῷ [86] μετὰ τῶν λοιπῶν παρανομιῶν καὶ τὸ τοιοῦτον τῆς γνώμης ἐξαίρετον ἰδίωμα, δι' οὗ καὶ πρὸ τῆς βασιλείας πολλοὺς ἠπάτησεν. Πλὴν γελοιότατος ἦν τοῖς εἰδόσιν ἀκριβῶς [87] τὸ ἐπιτήδευμα· ὥστε κἀκεῖνον ἀναιδείᾳ πολλῇ ζεζοφωμένον τὸ μιαρώτατον αὐτοῦ πρόσωπον ἀεὶ, τότε ἀπρόϊτον γενέσθαι ἐπὶ ἡμέρας ζ' τοῦ C βασιλικοῦ κοιτῶνος δολίως κλαυθμυριζόμενος, ἐπεὶ καὶ φυσικῶς αὐτῷ γυναικώδη [88] προσῆσαν δάκρυα, ἃ τοῖς πολλοῖς τῶν φαύλων ψευδοχρίστοις προσεῖναι πέφυκεν. Ἀλλ' οὐκ ἔλαθεν τοὺς πολλούς. Τῷ δὲ Αὐγούστῳ μηνὶ ἐξελθὼν [89] κατὰ Ἀράβων συνήντησεν αὐτοῖς εἰς Κρασὸν τῆς Φρυγίας, καὶ πολεμήσας ἡττᾶται· καὶ πολλοὺς ἀποβαλὼν [90] μικροῦ δεῖν καὶ αὐτὸς κρατεῖσθαι ἤμελλεν, εἰ μὴ τῶν ἀρχόντων τινὲς ἀνδρειότατοι τοῦτον μόλις τῆς ἀνάγκης περισώσασθαι ἴσχυσαν.

A. C. 796. — Hoc anno mense Decembri indictione duodecima Nicephorus filium suum Stauracium Tarasii sanctissimi patriarchæ manibus in ambone Magnæ ecclesiæ imperatorem coronavit, hominem, sive vultus speciem, sive corporis robur, seu **406** denique mentis captum species, ad eam dignitatem plane ineptum. Is autem qui nusquam veritatis observatorem se præstitit, Nicephorus, Lycaonas nonnullos, ceu potius Lycanthropos belluas, iisdem cum eo mente ac moribus instructos homines in Proten insulam missos, noctu ad terram appellentes, Bardanium, quem memoravimus, oculis privare, tanquam se nullatenus conscio, et patrato facinore ad ecclesiam confugere jussit. Admissum scelus patriarcha et senatus universus omnesque, qui Dei timorem præ se ferebant, indigne tulerunt. Nefarius porro imperator Nicephorus, homo ad ostentationem omnia, nihil vero secundum Deum agens, in omnes Lycaonum optimates, quasi Bardanem vindicare voluisset, per juramenta cœpit inquirere. Inerat enim homini præter alia naturæ vitia facilis ad simulandum propensio; hoc ejus genii præcipuum munus, quo etiam ante susceptum imperium plurimos decepit: simulatum tamen ejus studium et affectationem expertis deridiculo exstitit, adeo ut vultum suum exsecrandum, continua licet impudentia obscuratum, per dies septem imperatorio cubiculo tectus et ejulans reddiderit eo tempore inaccessum. Aderant enim homini faciles et muliebres a natura concessæ lacrymæ, quod multis pravis hominibus christos et prophetas se falso jactitantibus innatum videatur: id tamen haud plures latuit. Cæterum mense Augusto adversus Arabes profectione suscepta, ad Crasum Phrygiæ obviam illis factus, certamine initio superatus est, pluribusque suorum prostratis parum abfuit, quin hostium in manus incideret, nisi procerum nonnulli animo et robore præstantes eum non sine difficultate periculo eripuissent.

Α. Μ. 6297. — Τούτῳ τῷ ἔτει στάσεως γενομένης D κατὰ τὴν Περσικὴν, κατῆλθεν ὁ τῶν Ἀράβων ἀρχηγὸς εἰρηνοποιήσων αὐτούς. Νικηφόρος δὲ ἄδειαν εὑρὼν, ἔκτισεν τὴν Ἄγκυραν τῆς Γαλατίας καὶ τὴν Θήβασαν καὶ τὴν Ἀνδρασόν. Ἀπέστειλεν δὲ καὶ ἐν Συρίᾳ χοῦρσον, καὶ μηδὲν ἀνύσαν ὑπέστρεψεν [91], τοὐναντίον δὲ μᾶλλον καὶ πολλοὺς ἀποβαλόν.

A. C. 797. — Hoc anno tumultu in Persia excitato Arabum dux partes dissidentes compositurus, illuc se contulit. Interea Nicephorus capta occasione Ancyram Galatiæ, Thebasam et Andrasum reparavit. Levi insuper et prædis cogendis apto exercitu in Syriam misso, milites re infecta, quin imo pluribus eorum desideratis, reversi sunt.

Α. Μ. 6298. — *Κωνσταντινουπόλεως ἐπισκόπου Νικηφόρου ἔτος α'.*

Τούτῳ τῷ ἔτει, μηνὶ Φεβρουαρίῳ κε', ἰνδικτιῶνι ιδ', Ταράσιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως ἐνδόξως ἀπεβίω, καὶ ἐξεκομίσθη τὸ

A. C. 798. — *Cpoleos episcopi Nicephori annus primus.*

Hoc anno mensis Februarii die **407** vicesimo quinto indictione decima quarta Tarasius sanctissimus Cpoleos archiepiscopus, gloriosam mortem

VARIÆ LECTIONES.

[84] ἣν A, ᾗ vulg. [85] ὅ τε A, καὶ ὁ vulg. [86] αὐτῷ A, αὐτὸ vulg. [87] ἀκριβῶς add. ex A. [88] γυναικωνιτίδος A, γυναικώδει vulg. [89] ἐξελθὼν A, ἐλθὼν vulg. [90] ἀποβαλὼν A, ἀποβάλλων vulg. [91] ἀνύσαν ὑπέστρεψεν — ἀποβαλὸν A, ἀνύσαντες ὑπέστρεψαν — ἀποβάλλοντες vulg.

obiit. Corpus ejus ad Ponti fauces delatum, in monasterio ab eo condito feria primæ jejuniorum hebdomadis quarta sepultum fuit. Mensis vero Aprilis die duodecima magna Paschalis Dominica Nicephorus sanctissimus patriarcha, prius asecretis, populi totius, sacerdotum atque etiam imperatorum suffragio electus est. Plato autem et Theodorus, Studii monasterii superior, Nicephori ordinationi non assenserunt, quin imo dissidium a cæteris meditati firmiter obstiterunt, probabili videlicet argumento ducti, non oportere aliquem ab imo laicorum statu ad supremum episcopatus fastigium proxime evolare : quos imperator Nicephorus urbe ejicere consiliatus adversa nonnullorum sententia cohibitus est, qui odiosam fore patriarchæ ordinationem exposuerunt, si monachi ad septingentos usque sub Theodoro militantes ejusque monasterium adeo celebre, illa asserta, dissiparentur et a fundamentis ruerent. Porro id neque novum in Ecclesia neque recens excogitatum fuit factum, cum multi etiam alii, de laicis episcopi creati, Deo convenienter in sacerdotali dignitate se gesserint. Eodem anno Aaron Arabum dux, collectis maximis copiis ex Maurophoris, Syria,

λείψανον αὐτοῦ ἐν τῷ στενῷ τοῦ Πόντου, καὶ ἐτάφη ἐν τῷ μοναστηρίῳ ὑπ' αὐτοῦ κτισθέντι τετάρτῃ τῆς πρώτης ἑβδομάδος τῶν Νηστειῶν. Καὶ τῇ ιβ' τοῦ Ἀπριλλίου μηνὸς τῇ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα ἐχειροτονήθη Νικηφόρος ὁ ἁγιώτατος πατριάρχης ἀπὸ ἀσηκρητῶν ψήφῳ παντὸς τοῦ λαοῦ καὶ τῶν ἱερέων, πρὸς δὲ καὶ τῶν βασιλέων. Πλάτων δὲ καὶ Θεόδωρος ἡγούμενος (22) τῆς μονῆς τῶν Στουδίου [92] οὐ συνευδόκησαν τῇ χειροτονίᾳ Νικηφόρου, ἀλλὰ καὶ [93] λίαν ἀντετάχθησαν σχίσμα μελετήσαντες, αἰτίαν δῆθεν εὔλογον ἔχοντες τὸ μὴ [94] δεῖν ἀπὸ λαϊκῶν ἀθρόως εἰς ἐπισκοπὴν ἀνατρέχειν· οὓς ὁ βασιλεὺς Νικηφόρος τῆς πόλεως ἀπελάσαι βουληθεὶς ἀνετράπη, συμβουλευόντων τινῶν οὐκ ἐπαινετὴν ἔσεσθαι τὴν [95] τοῦ πατριάρχου χειροτονίαν ἐπὶ καταλύσει τηλικαύτης μονῆς ἑπτακοσίων που μοναστῶν ὑπὸ Θεοδώρου τεταγμένων. Καὶ οὐκ ἦν τὸ πρᾶγμα ξένον τῆς Ἐκκλησίας καὶ προσφάτως ἐπινοηθέν· ἀλλὰ καὶ πολλοὶ ἄλλοι (23) ἀπὸ λαϊκῶν ἐπεσκόπησαν ἀξίως τῆς ἀξίας τῷ Θεῷ ἱερατεύσαντες· τῷ δ' αὐτῷ ἔτει ἐπεστράτευσεν Ἀαρὼν [96] ὁ τῶν Ἀράβων ἀρχηγὸς τὴν Ῥωμανίαν σὺν δυνάμει [97] βαρείᾳ ἀπό τε Μαυροφόρων καὶ Συρίας καὶ Παλαιστίνης καὶ Λιβύης χιλιάδων τριακοσίων. Καὶ ἐλθὼν εἰς Τύανα ᾠκοδό-

VARIÆ LECTIONES.

[92] Στουδίου A, Στουδίων vulg. [93] καὶ add. ex A. [94] τὸ μὴ A, τοῦ μὴ vulg. [95] τὴν add. ex A. [96] Ἀαρὼν ὁ A, ὁ Ἀαρὼν vulg. [97] ἐν δυν. vulg.

JAC. GOARI NOTÆ.

(22) Platonis et Theodori Studitarum in Tarasium et Nicephorum sanctissimos patriarchas zelum discretionis nonnihil egenum, describunt Theodorus ipse in Platonis gestis 16 Decembris apud Surium, et Ignatius in narratione de Theodoro instituta, quam ex utriusque communis amici pereruditi Leonis Allatii scriptis contubernalis Franciscus Combefis amice exhibuit : *Περὶ Ταρασίου καὶ Νικηφόρου τῶν ἐν ἁγίοις πατριαρχῶν.* Ὅτι Ταράσιος καὶ Νικηφόρος, κ. τ. λ. — *Exstat narratio ista S. Theodori Studitæ operibus nostræ editionis appendicis vice subjuncta. Vide tom.* XCIX, *col.* 1849. EDIT. PATR. — Ita bene Cedr. non ut modo codd. ipseque Anast. ἡγούμενοι, quasi uterque illius monasterii præfectum ageret, non solus Theodorus, de quo etiam postmodum subditur quod præsideret monachis 700 in eo monasterio ; Platone tum vitam degente solitariam in inclusorio, eidemque nepoti suo Theodoro subdito, uti ipse pluribus in vita illius ; in qua et loci hujus tragœdiam totam prosequitur ; aliamque ac præcipuam dissidii causam affert, quam narrat Theophanes, ac pro qua excusat, Nicephori scilicet promotionem ex laicis ; quam etsi moleste habebant viri sanctissimi velut non omnino ex canonum ratione factam, haud tamen rem ejusmodi existimabant ut pacis studio dissimulanda non esset, uti jam in Tarasio et ipso ex laicis promoto dissimulaverant ; quo etiam amice sub ipsum sacerdotii initium, tumque sublato scandalo, ac amoto Josepho Catharorum præposito incestarum nuptiarum ministro, usi fuerant. Offendit quidem Plato in Nicephori electione, sed quod per litteras suffragium rogatus ab imperatore, libere eum præsulem edixerit, quem tanto muneri aptiorem putaverat ; quodque ut ille præliceretur ita adnixus sit, ut etiam imperatoris secretum cuidam ex proceribus sanguinis affinitate eidem conjuncto, communicaverit : quo scilicet sua ille auctoritate erga imperatorem obtineret, ut in eum imperator vota sua conferret, quem is illi potissime ex omnibus nominasset. Secuta hæc Josephi Catharorum præpositi jam Tarasio abdicati, restitutio : utque non aliter Tarasii admissa communio Platoni ac discipulis, quam Josephum ille sacris arceret ; sic et ab iisdem etiam Nicephori spreta, postquam ipse ut imperatoris gratiam iniret ad pristina eum munia instauraverat. Totam ergo in ambos duces, ad discipulos vere dignam luctus tragœdiam exsecutus Theodorus sic causam explicat : Καὶ ταῦτα ὑπὲρ τίνος (πάλιν γὰρ ἀναλαμβάνειν ἐκπλήξει τὸ δρᾶμα περιπονοῦμαι) ; Ἵν' ὁ στεφανώσας τοὺς μοιχωμένους παρὰ τὸ Εὐαγγέλιον κατὰ ἀντίθεσιν τοῦ Προδρόμου, ὡς οἰκονομίαν σωτήριον τῇ Ἐκκλησίᾳ πεποιηκὼς, ἀθωωθῇ τοῦ ἱερουργεῖν· καὶ οἱ τοῦτον μὴ προσιέμενοι εὐαγγελικῶς, ἔκνομοι καὶ ἠλλοτριωμένοι Θεοῦ νομίζοιντο. Ὢ νόμοι Θεοῦ καταφρονούμενοι! ὢ διώκτου πικροῦ, Χριστιανοῦ προσηγορίαν ἔχοντος, καὶ Χριστοῦ νόμους καταπατεῖσθαι ζέοντος! Τί οὕτω μέμηνας, βαρυκάρδιε καὶ ἀπηνέστατε, σὺν τῷ ὁμοτρόπῳ σου σκύμνῳ ; οὐκ οἶσθα ὅτι πρὸς ἀηττήτους νόμους Θεοῦ παρατάσσῃ, οὓς οὐδεὶς βασιλευσάντων νενίκηκεν ; μὴ ὅτι γε καὶ προσκρούσας αὐτοῖς ὡς σὺ περιφανῶς ἀπώλετο· *Hæc vero cujus gratia? iterum enim præ stupore fabulam ab ovo repetere enitar. Nempe, ut is, qui nuptiales corollas præter Evangelii jura, ac contrario præcursori molimine, adulteris imposu rat, velut qui prudenter e re Ecclesiæ egisset, innoxius sacrorum minister sanciretur; iique, qui ex Evangelii rationibus non admitterent, iniqui ac alieni a Deo haberentur. O spretas Dei leges! O sævum Christiano nomine persecutorem, Christique leges fervore animi conculcantem! quid ita dementia furis, homo gravi corde, ac immanissime, una cum tibi morum æmulo tuo catulo? Nescis adversus invictus Dei leges instructa te acie stare, quas nullus imperator vincere potuit? quinimmo quisquis in eas offendit, quod tu palam moliris, periit.* COMBEFIS.

(23) In sancti gratiam, ac versus sanctos, auctoris sancti sancta sententia.

μησεν οἶκον τῆς βλασφημίας αὐτοῦ. Καὶ πολιορκήσας A παρέλαβεν τὸ Ἡρακλέως κάστρον ὀχυρώτατον πάνυ ὑπάρχον καὶ τὴν Θήβασαν καὶ τὴν Μαλακοπαίαν [98] καὶ τὴν Σιδηρόπαλον καὶ τὴν Ἄνδρασον. Ἀπέστειλεν [99] δὲ κοῦρσον χιλιάδας ἑξήκοντα, καὶ κατῆλθεν ἕως Ἀγκύρας, καὶ ἱστορήσας ταύτην ὑπέστρεψεν. Ὁ δὲ βασιλεὺς Νικηφόρος φόβῳ καὶ ἀμηχανίᾳ συσχεθεὶς, ἐξῆλθεν καὶ αὐτὸς ἐν ἀπογνώσει, τά τε γενναῖα τῆς ταλαιπωρίας ἐπιδεικνύμενος (24), καὶ πολλὰ τρόπαια ποιήσας ἀπέστειλεν πρὸς Ἀαρὼν τὸν μητροπολίτην Συνάδων καὶ Πέτρον τὸν ἡγούμενον τοῦ Γουλαίου καὶ Γρηγόριον τὸν οἰκονόμον Ἀμάστρης, αἰτῶν [1] εἰρήνην γενέσθαι· καὶ πολλὰ διαλεχθέντων αὐτῶν ἐστοίχησαν τὴν εἰρήνην [2], ἵνα τὸ κατ' ἔτος τελῆται αὐτοῖς ἀνὰ τριάκοντα χιλιάδες νομίσματα καὶ τρία νομίσματα [3] κεφαλιτιῶν (25) B αὐτοῦ τοῦ βασιλέως [4], καὶ τρία τοῦ υἱοῦ αὐτοῦ. Ἃ δεξάμενος Ἀαρὼν ἥσθη καὶ ἠγαλλιάσατο ὑπὲρ μυρίων ταλάντων ταῦτα δεξάμενος, ὡς ὑποτάξας τὴν τῶν Ῥωμαίων βασιλείαν. Ἐστοίχησαν δὲ καὶ τὰ παραληφθέντα [5] κάστρα μὴ κτισθῆναι (26). Ὑποστρεψάντων δὲ τῶν Ἀράβων ἔκτισεν εὐθέως τὰ αὐτὰ κάστρα καὶ κατωχύρωσεν. Καὶ τοῦτο μαθὼν Ἀαρὼν, ἀποστείλας πάλιν ἔλαβεν τὴν Θήβασαν, καὶ πέμψας στόλον εἰς Κύπρον, τάς τε ἐκκλησίας κατέστρεψεν, καὶ τοὺς [6] Κυπρίους μετῴστησεν, καὶ πολλὴν ἅλωσιν ποιήσας τὴν εἰρήνην διέστρεψεν.

Palæstina et Libya, quæ ad trecenta millia accedebant, impressionem in Romanam ditionem fecit, et Tyana profectus blasphemiæ suæ consecravit ædem, munitissimumque Herculis castrum, Thebasam, Malacopæam, Sideropalum et Andrasum armis et obsidione cepit, agmenque sexaginta millium militum populatum misit, et Ancyram usque devenit, qua diligentius explorata et descripta, reversus est. Quare imperator Nicephorus in metum atque animi angustias adductus, ipse etiam contra processit, in hac rerum desperatione fortem adversus calamitates animum erigens, multaque sibi ipsi decernens trophæa, Synadensem metropolitam et Petrum Gulæi præpositum, et Gregorium Amastrensem œconomum pacem componendam postulaturos ad Aaronem legatos destinavit, qui multis hinc inde discussis, pacem ea conditione firmaverunt, ut in singulos annos triginta nummorum millia, et tria capitatorum ipsius nimirum imperatoris effigie exsculpta, aliaque pariter tria filii charactere notata Saracenis penderentur. Aaron eo censu accepto, quasi Romanorum imperio sibi subjecto gavisus est, nec oblatis talentorum decem millibus majore lætitia triumphasset. Inter eos insuper convenit, ne castra expugnata repararentur. Sed vix Arabes discesserant, cum **408** eadem castra Nicephorus reædificavit et munivit. Ea re comperta, misso exercitu Thebasam iterato cepit Aaron, et classe in Cyprum destinata, ecclesias evertit, Cyprios in alias provincias transportavit, et multis captivis abductis, pacis initæ fœdera violavit.

A. M. 6299. — Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Νι- C κηφόρος κατὰ Βουλγάρων, καὶ καταλαβὼν τὴν Ἀδριανούπολιν, στάσεως μελετωμένης κατ' αὐτοῦ ὑπὸ τῶν βασιλικῶν ἀνθρώπων καὶ τῶν ταγμάτων, αἰσθόμενος ὑπέστρεψεν ἄπρακτος μηδὲν ἀνύσας, ἢ μόνον τοὺς ὁμοφύλους ἀμυνόμενος, δαρμοῖς τε καὶ ἐξορίαις, καὶ δημεύσεσι πολλοὺς ὑποβάλλων [7]. Ἀποστείλας δὲ Βαρδάνιον τὸν σπαθάριον, τὸ ἐπίκλην Ἀνεμᾶν, πάντα προσήλυτον (27) καὶ πάροικον ἐπαιχμαλωτεύσας, ἐπέρασεν ἐν τῇ Θράκῃ, οἰόμενος οὐκ ὀλίγην ὁλκὴν χρυσοῦ πορίσασθαι ἐξ αὐτῶν ἐξ

A. C. 799. — Hoc anno Nicephorus bellum in Bulgaros convertit, et Adrianopolim profectus, cum ab imperatoriis aulicis et militum ordinibus conspirationem in se motam intellexisset, re prorsus infecta, et a proposito sibi fine longe sepositus, nisi forte a severitate in contribules exercita, quos verberibus, exsiliis et bonorum proscriptionibus ultus est, Constantinopolim remeavit. Bardanio autem spathario, cui cognomentum Anemas, misso, advenis et inquilinis omnibus in servitutem actis in Thraciam transiit, haud leve auri pondus

VARIÆ LECTIONES.

[98] Μαλακοπίαν A. [99] ἀπέστη f. [1] αἰτῶν A, αὐτῶν vulg. [2] τὴν εἰρ. A, εἰρ. vulg. [3] καὶ τρία νομ. add. ex A e. [4] τοῦ βασιλέως A e, τῆς βασιλείας vulg. [5] παραληφθ. A, παραλειφθ. vulg. [6] καὶ τοὺς A, τούς τε vulg. [7] ἀποβ. A.

JAC. GOARI NOTÆ.

(24) *Ostendens quanta vis calamitatis exsistat, multaque solertia usus.* Velut esset, πολλὰ τροπωσάμενος, quæ vox auctori est, fraude uti, solertia decipere. Sic certe Cedr. καὶ δὴ σκεψάμενος. Idem, τὰ γενναῖα τρόπαια in illa vi suadæ enituisse intelligit, qua Nicephorus Aaronis animum ad pacem inflexit, desperata alioqui salute : non quasi ipse ita animos ex calamitate hauserit, ut se de illo tropæa erecturum speraverit, uti interpres non bene intellexit. Quid si τρόπαια intelligas, uti expositum est imp. secundi Iust. Rhinotmeti anno 3, cum is fuga lapsus Anchialo, dicitur posuisse super muros τρόπαια *arma bellica*, quo sic Bulgaris fucum faceret, nec illi ejus fugam adverterent ; ut hic quoque dicatur Nicephorus fecisse multa τρόπαια, id est copioso armorum apparatu exercitum D instruxisse, ne omnino Arabum dux ex militum paucitate sperneret, sed majores illius copias existimans in pacem consentiret. Hoc alias stratagemate usi alii cladem depulere. COMBEFIS.

(25) Bene Anast., *tria numismata in censum capitis imperatoris, et tria in censum capiti ejus filii :* quo Aaron censu sic delectatus est, prætulitque auri multis talentis, velut sic addicto Arabibus Romano imperio. Nihil e re quod redditum est. ID.

(26) Apud Cedr., παραληφθέντα ὑπ' αὐτοῦ· *Urbes quas ille cepisset non reparandas :* etiam Peyr. προληφθέντα· *urbes prius utrinque captas*, at non improbanda Regii lectio *urbes desolatas ;* vel quas ille ex pacis condicto Romanis cesserat. ID.

(27) *Gentilem* intellige, et a Christiana religione alienum.

annuis vectigalibus ab eis exactis collecturum se arbitratus, qui dilecti sibi auri cupiditate, non Christi dilectione cuncta gerere vel administrare visus est.

A. C. 800 — Hoc anno mense Septembri indictione prima, Aaron Arabum dux Chumid cum valida classe adversus Rhodum instruxit. Is ex improviso navigatione suscepta, Rhodum appellens ingentem prædæ copiam ex ea abegit, arce sola vastitatis immuni servata. At certe redeuntem sanctus et mirandorum opifex Nicolaus manifesta ultione exagitavit. Myra etenim occupata, cum sacram ejus urnam confringere tentaret, et in vicinam ex errore vim et ictus inferret, extemplo immanis ventorum procella, marinorum fluctuum impetui tonitruum fulgurumque promiscua tempestas adeo classem jactavit, ut pleræque naves conquassatæ submergerentur, ipseque Dei hostis Chumid sancti virtutem expertus, vix ac præter spem eam potuerit effugere. Mensis autem Decembris die vicesimo Nicephorus Stauracio filio uxorem copulaturus, virginum Romanæ ditionis accurata disquisitione præmissa, Theophanonem Atheniensem beatæ Irenes affinem, viro, cum quo frequentius decubuerat, desponsatam et ab eo sejunctam, infelici Stauracio locavit, ut qui leges omnes violare solitus erat, etiam in hoc transgrederetur impudenter. Duas autem alias puellas istam forma longe superantes, quas una cum ea delegerat, in ipsis nuptiarum solemnibus diebus palam non sine hominum risu vir exsecrandus constupravit. Cæterum mense Februario 409 proceres haud pauci conspirationem in eum machinati Arsaberem quæstorem et patricium, virum religiosum et eruditum, designaverunt imperatorem. Ubi Nicephorus, dolis adversus alios parandis exercitatissimus, insidias habuit detectas, Arsaberem verberibus cæsum et capillitio damnatum inter monachos reliquum vitæ acturum in Bithyniam relegavit, cæteros plagis impositis, exsiliis et facultatum proscriptionibus, non sæcularis modo convictus proceres, sed et sanctos episcopos monachosque, necnon ipsos Magnæ ecclesiæ syncellum, sacellarium et chartophylacem viros spectabiles omnique veneratione dignos supposuit

A. C. 801. — *Arabum ducis Muamed annus primus.*

Hoc anno, mense Martio, indictione secunda, Arabum dux Aaron in interiore Persia, Chorasan agnominata, mortuus est; Muamed autem ejus filius ad omnia prorsus ineptus imperium suscepit, adversus quem Abdellas ejus frater seditione mota, ex provincia Chorasan cum paternis viribus erumpens, civilis belli per nationem illam auctor fuit. Subinde qui Syriam, Ægyptum et Libyam

A ἐτησίων τελεσμάτων ὁ πάντα διὰ τὸν[8] φιλούμενον αὐτῷ χρυσὸν, καὶ οὐ διὰ τὸν Χριστὸν πράττων.

A. M. 6300.—Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνι α', Ἀαρὼν ὁ τῶν Ἀράβων ἀρχηγὸς μετὰ στόλου κατὰ τῆς Ῥόδου Χουμεῒδ ἐξέπεμψεν. Οὗτος ἀθρόως καταπλεύσας, καὶ τὴν Ῥόδον καταλαβὼν πολλὴν ἅλωσιν ἐποιήσατο ἐν αὐτῇ. Τὸ μέντοι ἐν αὐτῇ φρούριον διεφυλάχθη ἀπόρθητον. Ἐν δὲ τῷ ἐπανέρχεσθαι αὐτὸν, φανερῶς κατεπολεμήθη ὑπὸ τοῦ ἁγίου καὶ θαυματουργοῦ Νικολάου. Ἐλθὼν γὰρ εἰς τὰ Μῦρα καὶ τὴν ἱερὰν αὐτοῦ συντρίψαι πειραθεὶς λάρνακα, ἄλλην ἀντ' ἐκείνης πλησίον αὐτῆς[9] κατέκλασεν· αὐτίκα τε πολλὴ ἀνέμων καὶ θαλαττίων B κυμάτων, βροντῶν τε καὶ ἀστραπῶν ἀνωμαλία τὸν στόλον κατέλαβεν, ὡς ἱκανὰ συντριβῆναι σκάφη, αὐτόν τε τὸν[10] θεομάχον Χουμεῒδ ἐπιγνῶναι τὴν τοῦ ἁγίου δύναμιν, καὶ παρ' ἐλπίδα τὸν κίνδυνον[11] ἐκφυγεῖν. Τῇ δὲ κ' τοῦ Δεκεμβρίου μηνὸς Νικηφόρος μετὰ πολλὴν ἐκλογὴν παρθένων ἐκ πάσης[12] τῆς ὑπ' αὐτοῦ ἐξουσίας εἰς τὸ ζεῦξαι Σταυράκιον τὸν υἱὸν αὐτοῦ ποιησάμενος, Θεοφανὼ τὴν Ἀθηναίαν προσγενῆ τῆς μακαρίας Εἰρήνης μεμνηστευμένην ἀνδρὶ, καὶ πολλάκις αὐτῷ συγκοιτασθεῖσαν, χωρίσας αὐτὴν ἀπ' αὐτοῦ, τῷ ἀθλίῳ Σταυρακίῳ συνέζευξεν, ὡς εἰς πάντα καὶ εἰς τοῦτο[13] παρανομήσας ἀναιδῶς, ἄλλας δύο ταύτης ὡραιοτέρας ἐκλεξάμενος· σὺν αὐτῇ προφανῶς αὐτὰς ἔφθειρεν κατ' αὐτὰς τὰς ἡμέρας τοῦ γάμου παρὰ πάντων ὁ μιαρὸς γελώμενος. Τῷ δὲ C Φεβρουαρίῳ μηνὶ στάσιν ἐννοήσαντες κατ' αὐτοῦ πολλοὶ τῶν ἐν τέλει, Ἀρσαβὴρ τὸν κοιαίστωρα καὶ πατρίκιον ἄνδρα εὐσεβῆ καὶ λογιώτατον[14] ἐψηφίζοντο. Γνοὺς δὲ τοῦτο[15] ὁ πολυμήχανος Νικηφόρος, αὐτὸν μὲν τύψας καὶ ἀποκείρας, μοναχὸν πεποίηκεν, ἐν Βιθυνίᾳ τοῦτον ἐξορίσας, τοὺς δὲ λοιποὺς δαρμοῖς καὶ ἐξορίαις, πρὸς δὲ καὶ δημεύσεσι καθυπέβαλεν, οὐ μόνον τοὺς ἐν τῷ κοσμικῷ βίῳ[16] ἄρχοντας, ἀλλὰ καὶ ἐπισκόπους ἁγίους καὶ μοναχοὺς, καὶ τοὺς τῆς Μεγάλης Ἐκκλησίας, τόν τε σύγκελλον καὶ τὸν σακελλάριον καὶ τὸν χαρτοφύλακα, ἄνδρας ἐλλογίμους ὑπάρχοντας καὶ αἰδοῦς ἀξίους.

D A. M. 6301. — *Ἀράβων ἀρχηγοῦ Μουαμὲδ ἔτος α'.*

Τούτῳ τῷ ἔτει Ἀαρὼν ὁ τῶν[17] Ἀράβων ἀρχηγὸς τέθνηκεν εἰς τὴν ἐνδοτέραν Περσίδα, τὴν καλουμένην Χωρασὰν[18], μηνὶ Μαρτίῳ, ἰνδικτιῶνι β'. Καὶ διεδέξατο τὴν ἀρχὴν Μουαμὲδ ὁ υἱὸς αὐτοῦ ἀφυὴς κατὰ πάντα, πρὸς ὃν Ἀβδελᾶς ὁ ἀδελφὸς αὐτοῦ στασιάσας ἐκ τῆς αὐτοῦ χώρας τοῦ Χωρασὰν ἅμα ταῖς πατρικαῖς δυνάμεσιν ἐμφυλίου πολέμου τῷ κατ' αὐτοὺς ἔθνει γέγονεν αἴτιος. Κἀντεῦθεν οἱ κατὰ τὴν Συρίαν

VARIÆ LECTIONES.

[8] διὰ τὸν A. διὰ τὸ vulg. [9] πλησίον αὐτῆς] παρακειμένην A. [10] τὸν add. ex A. [11] τὸν κίνδυνον A, τὴν δύναμιν vulg. [12] ἐκ πάσης add. ex A. [13] ἐν τούτῳ A. [14] λογικώτατον A. [15] δὲ τοῦτο A, δὲ καὶ τοῦτο vulg. [16] βίῳ add. ex A. [17] τῶν add. ex A. [18] Χουρασὰν A a

καὶ Αἴγυπτον καὶ Λιβύην εἰς διαφόρους κατατμηθέντες ἀρχὰς [19], τά τε δημόσια πράγματα καὶ ἀλλήλους κατέστρεψαν, σφαγαῖς καὶ ἁρπαγαῖς καὶ παντοίαις ἀτοπίαις [20] πρός τε ἑαυτοὺς καὶ τοὺς ὑπ' αὐτοὺς Χριστιανοὺς συγκεχυμένοι. Ἔνθα δὴ καὶ αἱ [21] κατὰ τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλιν ἐκκλησίαι ἠρήμωνται, τά τε μοναστήρια τῶν δύο μεγάλων λαυρῶν, τοῦ ἐν ἁγίοις Χαρίτωνος (28) καὶ Κυριακοῦ, καὶ τοῦ Ἁγίου Σάββα, καὶ τὰ λοιπὰ κοινόβια τῶν ἁγίων Εὐθυμίου καὶ Θεοδοσίου· ἐπεκράτησεν δὲ τῆς τοιαύτης ἀναρχίας ἡ κατ' [22] ἀλλήλων καὶ ἡμῶν μιαιφονία ἔτη [23]. Θεόδωρος δὲ ὁ ἡγούμενος τῶν Στουδίου [24], καὶ Ἰωσὴφ ὁ ἀδελφὸς αὐτοῦ ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἅμα Πλάτωνι ἐγκλείστῳ, καὶ τοῖς λοιποῖς αὐτῶν μοναχοῖς τῆς κοινωνίας Νικηφόρου τοῦ ἁγιωτάτου πατριάρχου ἀπέστησαν διὰ Ἰωσὴφ τὸν οἰκονόμον, ὡς παρανόμως στεφανώσαντα Κωνσταντῖνον καὶ Θεοδότην. Νικηφόρος δὲ ὁ βασιλεὺς ἀφορμῆς δραξάμενος ἐπισκόπους πολλοὺς καὶ ἡγουμένους ἀθροίσας σύνοδον κατ' αὐτῶν κροτηθῆναι ἐκέλευσεν, δι' ἧς ἐξεβλήθησαν τῆς μονῆς καὶ τῆς πόλεως ἐξορίᾳ παραπεμφθέντες μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνι β'. Τῷ δ' αὐτῷ ἔτει ῥόγας διδομένης τῷ λαῷ ἐν τῷ Στρομῶνι [25], ἐπιπεσόντες οἱ Βούλγαροι ταύτην ἀφείλαντο χρυσίου λίτρας χιλίας καὶ ἑκατὸν, καὶ πολὺν λαὸν κατέσφαξαν σὺν τῷ στρατηγῷ καὶ τοῖς ἄρχουσιν. Ἦσαν γὰρ καὶ τῶν λοιπῶν θεμάτων ταξάτοι ἄρχοντες οὐκ ὀλίγοι, καὶ πάντες ἐκεῖ ἀπώλοντο. Ἔλαβον δὲ καὶ τὸ τοῦλδον ὅλον, καὶ ὑπέστρεψαν. Τῷ δ' αὐτῷ ἔτει πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα Κροῦμμος [26] ὁ τῶν Βουλγάρων ἀρχηγὸς παραταξάμενος κατὰ Σαρδικῆς, ταύτην παρέλαβεν δόλῳ καὶ λόγῳ, στρατεύματα Ῥωμαϊκὰ κατασφάξας χιλιάδας ἕξ, χωρὶς ἰδιωτικοῦ πλήθους. Νικηφόρος δὲ δῆθεν κατ' αὐτοῦ ἐξελθὼν τῇ τρίτῃ ἡμέρᾳ τῆς ἑβδομάδος [27] τοῦ σωτηρίου πάθους, ἀξιόλογον μὲν οὐδὲν πέπραχεν, τοῖς δὲ περισωθεῖσιν [28] ἐκ τῆς φυγῆς ἄρχουσιν αἰτοῦσι λόγον σωτηρίας ἀπαξιώσας δοῦναι, τοῖς ἐχθροῖς προσφυγεῖν [29] ἐβιάσατο, ἐν οἷς ἦν καὶ [30] Εὐθύμιος ὁ σπαθάριος μηχανικῆς ἔμπειρος. Ὁ δὲ Νικηφόρος πρὸς τῇ πολλῇ ἀδοξίᾳ σάκραις ἐνόρκοις τὴν [31] βασιλίδα πόλιν πείθειν ἐσπούδαζεν, ὅτι τὴν τοῦ Πάσχα ἡμέραν ἐν τῇ αὐλῇ τοῦ Κρούμμου ἑορτάσας, τὴν παραλειφθεῖσαν [32] Σαρδικὴν οἰκοδομεῖν βουλόμενος, ἀνθιστάμενα τὰ [33] πλήθη φοβηθεὶς ὑποβάλλει [34] (29) διὰ τῶν στρατηγῶν καὶ ἀρχόντων πεῖσαι τοὺς ὄχλους αἰτήσασθαι τῷ βασιλεῖ περὶ τῆς οἰκοδομῆς. Οἱ δὲ τὸ δρᾶμα κατανοήσαντες, ὡς ἐκ τῆς ἐκείνου κακοπραγίας ὑποβεβλημένον στασιάζουσι κατ' αὐτοῦ καὶ τῶν

incolunt in varias factiones divisi, rem publicam et privatos quosque pessumdederunt, cædibus, rapinis aliisque flagitiis cum in se invicem, tum in subditos Christianos confuse desævientes. Isthinc sane per sanctam Christi et Dei nostri civitatem ecclesias desolatio et vastitas occupavit : isthinc in duarum magnarum laurarum monasteria, sancti dico Charitonis et Cyriaci, atque sancti Sabæ, et in reliqua sanctorum Euthymii et Theodosii cœnobia maxima clades erupit. Invaluit Arabici imperii confusio hujusmodi, cædesque mutuæ inter se et nobis illatæ annos. * Theodorus autem, Studii præpositus, et ejus frater Joseph Thessalonicensis archiepiscopus, una cum Platone incluso et reliquis monachis, a Nicephori sanctissimi patriarchæ communione, ob Joseph œconomum corollas nuptiales Constantino et Theodote illegitime pridem imponentem, seipsum segregavit. Imperator autem Nicephorus commodam occasionem nactus, variis episcopis et monasteriorum præpositis in unum collectis, synodum agi mandavit, cujus decreto monasterio et urbe ejecti, mense Januario indictionis secundæ in exsilium pulsi sunt. Hoc eodem **410** anno erogato in milites stipendio ad Stromonem, Bulgari irruentes illud interceperunt, auri libras centum supra mille, varia exercitus plebe trucidata cum ipso duce et pluribus optimatibus : aderant quippe ex aliis quoque thematibus taxati proceres haud pauci, quorum communis fuit jactura : occupatisque universi exercitus sarcinis, Bulgari rediere. Hoc etiam anno ante Paschatis solemnia Crummus Bulgarorum princeps, expeditione suscepta, et instructo in Sardicam exercitu, qua dolis, qua pactis, urbem cepit, et ex Romanis agminibus, promiscua privatorum hominum plebe haud numerata, militum millia sex interfecit. Nicephorus autem feria tertia salutaris Dominicæ passionis hebdomadis adversus eum egressus, nihil laude dignum edidit, quinimo ducibus fuga sibi salutem consulentibus, veniamque pro animi parvitate admissa petentibus eam denegavit, et in hostium partes transire compulit, inter quos Euthymius spatharius instruendarum belli machinarum peritissimus exstitit. Nicephorus autem proprio dedecori daturus accessionem, perjuris sacris ad imperatricem urbem datis, sanctum Paschatis festum in Crummi aula se peregisse mentitus, etiam Sardicam ab hostibus relictam restaurare volentem obsistentis exercitus vim

VARIÆ LECTIONES.

[19] ἀρχάς add. ex A. [20] ἀτοπίαις add. ex A. [21] αἱ add. ex A. [22] ἡ κατ' A, τῆς κατ' vulg. [23] ἔτη] ἔτι ſ : sed signum numeri deesse videtur. [24] Στουδίου A, Στουδίων vulg. [25] Στρυμῶνι A. [26] Κροῦμμος ὁ τῶν B. A, ὁ Κροῦμμ. τῶν B. vulg. [27] τῆς ἑβδομάδος add. ex A. [28] τοῖς δὲ περισ. A, τοῖς π. vulg. [29] προσφυγεῖν A, πρὸς φυγὴν vulg. [30] καὶ add. ex A. [31] τὴν — ἡμέραν A, τῆς — ἑορτῆς vulg. [32] παραληφθ. A. [33] τὰ add. ex A. [34] ὑποβάλλει A, ὑποβάλλῃ vulg.

JAC. GOARI NOTÆ.

(28) De Charitonis laura diximus ad Syncellum.

(29) *Adversantes milites veritum auctorem esse, ducum ac procerum opera suadendum turbis, ut imperatori pro ædificio supplicent.* Sic homo astutus, ad trahendos in invidiam milites, aut duris laboribus mancipandos, ex quo secuta eorum seditio. Combefis.

merito timuisse, quod nimirum ab urbe reparanda ductorum suorum et procerum opera, copiæ omnes imperatorem violenter deterruerint, ipse per litteras persuadere conatus est. At isti totum drama maligna ejus vafritie compositum et instructum attendentes, in eum et proprios ductores circa horam sextam tumultuantur ac impetu facto, eversis et laceratis eorum tentoriis, ad imperatorium usque progressi principem ipsum contumeliis et maledictis appetebant, inexplebilem ejus circa divitias libidinem et scelestum ejus animum se non ultra toleraturos jurati. Ille subito violentoque motu exterritus, exsurgit e mensa, et per Nicephorum Petrumque patricios jusjurandis et aptis ad suadendum verbis eos demulcere parat. Tum illi a tumultu leviter abstinentes, collem quemdam occupant, miselli propositi facile conficiendi immemores, illud, *Domine, miserere*, quasi terræ motus eam conquassaret, vel diutina imbris penuria aerem detineret, inclamant. Nicephorus utpote ad omnem malitiam exercitatus, muneribus per noctem clam distributis, varios exercitus duces sibi devinctos seducens, ipse eorum medius, insequenti die ad exercitum procedens, de suo erga eos affectu deque sua erga ipsos æque ac filios propensione jusjurandis etiam tremendis certiores facturus disserit. Ac confestim **411** in urbem imperatricem convolat, Theodosio patricio et primiscrinio, cui cognomen Salibaras, dignoscendis per mutuas ipsorum accusationes tumultus auctoribus, relicto. Militaribus autem copiis in urbem reversis, simulata stipendii erogatione, in varios ex militibus verberum tunsione, capillorum rasura, et exsiliis ad sanctum Mamantem animadvertit, ac demum tantis ac tam horrendis sacramentis summo contemptu quasi ad pedes conculcatis, plurimos Chrysopolim in exsilium deportavit. Illi tanta calamitate perculsi, portus trajectui ignei amnis nomen indidere.

A ἰδίων ἀρχόντων ὥρᾳ ἕκτῃ, καὶ ἐπελθόντες διαῤῥήσσουσι [35] τὰς σκηνὰς αὐτῶν. Ἐλθόντες δὲ ἕως τῆς βασιλικῆς, ὕβρεσι πολλαῖς καὶ ἀραῖς αὐτὸν ἔβαλλον, μηκέτι φέρειν τὴν ἄμετρον αὐτοῦ [36] φιλαργυρίαν καὶ κακομήχανον αὐτοῦ γνώμην ἐξομνύμενοι. Ὁ δὲ τῷ ἀθρόῳ τῆς στάσεως σφόδρα καταπτοηθεὶς, καὶ ἀναστὰς τῆς τραπέζης, πρῶτον μὲν διὰ Νικηφόρου καὶ Πέτρου τῶν πατρικίων ὅρκοις καὶ [37] πιθανολογίαις κατευνάζειν ἐπειρᾶτο [38] τὸ στράτευμα. Οἱ δὲ μικρὸν παυσάμενοι, βουνόν τινα κατέλαβον οἱ τρισάθλιοι τῆς ἐν χερσὶν ἐπιλαθόμενοι πράξεως, τὸ, *Κύριε, ἐλέησον*, ἀναβοῶντες, ὡς ἐπί τινι σεισμῷ ἢ ἀνομβρίᾳ. Ὁ δὲ πρὸς πᾶσαν κακουργίαν ἕτοιμος, λαθραίαις δωρεαῖς διὰ τῆς νυκτὸς τοὺς πολλοὺς τῶν ἀρχόντων ἐξαπατήσας, τῇ ἐπαύριον αὐτὸς δι' ἑαυτοῦ μέσος ἐλθὼν B τοῖς ὄχλοις διελέχθη περὶ πάσης εὐημερίας ὅρκοις φρικτοῖς αὐτοὺς διαβεβαιωσάμενος καὶ τὰ τῆς ἴσης πρὸς τὰ τέκνα στοργῆς. Καὶ παραυτίκα τὴν βασιλίδα καταλαμβάνει, Θεοδόσιον πατρίκιον καὶ πρωτοασηκρήτιον, τὸ ἐπίκλην Σαλιβαρᾶν (30), ἐάσας εἰς τὸ καταμαθεῖν δι' ἀλλήλων τοὺς στασιάσαντας. Ἐν δὲ τῷ ἐπανέρχεσθαι τὰ πλήθη ῥογεύειν αὐτοὺς προσποιησάμενος, κατὰ τὸν Ἅγιον Μάμαντα δαρμοῖς τε καὶ κουραῖς καὶ ἐξορίαις τοὺς πλείστους τιμωρησάμενος, εἰς Χρυσόπολιν τοὺς πολλοὺς διεβίβαζεν, καταπατήσας τοὺς τηλικούτους φοβεροὺς [39] ὅρκους. Οἱ δὲ διὰ τὴν συμφορὰν Πύρινον Ποταμὸν τὸ πέραμα (31) προσηγόρευσαν.

A. C. 802. — Hoc anno Nicephorus, datis in C publicum veteratoriæ et a Deo penitus alienæ suæ mentis per calliditates et astutias tot indiciis, militares copias affligere ac deprimere meditatus, milites Christianos ex unoquoque themate patriam deserere, et facultatibus divenditis in Sclaviniam migrare edicto promulgato sanxit. Exstitit istud captivitate inducta non minus horrendum spectaculum. Multi siquidem ad exsecrationes et diras evomendas ex mentis alienatione converti, isti inimicas excursiones peroptare, alii a paternis sepulcris extorres se ipsos lugere, et vita functos præ se beatos prædicare; fuerunt etiam qui laqueis a præsentibus calamitatibus libertatem quæsierint, bona siquidem immobilia secum una circumferre non

A. M. 6302. — Τούτῳ τῷ ἔτει Νικηφόρος μετὰ τὰς ἀθέους ἐπεξελεύσεις [40] (32), τὰ στρατεύματα πάντῃ [41] ταπεινῶσαι σκεψάμενος, Χριστιανοὺς ἀποικίας [42] ἐκ παντὸς θέματος ἐπὶ τὴν Σκλαβινίαν [43] γενέσθαι [44] προσέταξεν, τὰς δὲ τούτων ὑποστάσεις πιπράσκεσθαι, καὶ ἦν αἰχμαλωσίας οὐκ ἔλαττον τὸ πρᾶγμα, πολλῶν ἐξ ἀνοίας βλασφημούντων καὶ ἐχθρῶν ἐφόδους αἰτούντων, ἑτέρων δὲ περὶ [45] τοὺς γονικοὺς τάφους θρηνούντων καὶ τοὺς ἀποθανόντας μακαριζόντων. Εἰσὶ δὲ οἳ καὶ [46] ἀγχόναις ἐχρήσαντο πρὸς ἀπαλλαγὴν τῶν δεινῶν. Τά τε γὰρ προσόντα δυσκίνητα συνεπιφέρεσθαι ἠδυνάτουν, καὶ τὴν ἐκ γονικῶν πόνων κτισθεῖσαν ὕπαρξιν ὀλλυμένην ἑώρων, καὶ πᾶσα τοὺς πάντας εἶχεν ἀμηχανία, τῶν μὲν πενήτων ἐν τούτοις καὶ τοῖς ἑξῆς ῥηθησομένοις, τῶν

VARIÆ LECTIONES.

[35] διαῤῥήσσ. A, διαρήσσ. vulg. [36] αὐτοῦ add. ex A. [37] ὅρκοις καὶ A a f, ὅρκοις αὐτοὺς καὶ vulg. [38] ἐπειρᾶτο τὸ στράτ. A a f, αὐτοὺς ἐπειρᾶτο vulg. [39] καὶ φοβ. A. [40] ἐπεξελ. A, ὑπεξ. vulg. [41] πάντῃ A, πάντα vulg. [42] ἀποικίας A a f, ἀποικίσας vulg. [43] τὰς Σκλαυινίας A. [44] γενέσθαι om. A. [45] περὶ add. ex A. [46] οἳ καὶ A, καὶ οἳ vulg.

JAC. GOARI NOTÆ.

(30) *Frenorum opificem* interpretor: σαλιβάριον, et magis barbare σαλιβάριν, et σαλιβάρι, *frenum*.

(31) Fretum portus CP. lintribus, περαματικοῖς ξύλοις, trajiciendum, a quo Galatæ oppidi regio Πέρα, quod πέραν τοῦ πορθμοῦ. De quo alibi.

D (32) *Post impias animadversiones*, ut bene Anast. et Suid., contra nimirum fidem juramenti; de pœna enim superiori anno militibus tumultuantibus irrogata sermo, ad alios etiam isto producta. COMBEFIS.

δὲ ὑπερεχόντων συμπασχόντων αὐτοῖς καὶ μὴ δυναμένων βοηθῆσαι, ἀπεκδεχομένων δὲ βαρυτέρας συμφοράς. Ταῦτα ἤρχθη μὲν ἀπὸ τοῦ Σεπτεμβρίου μηνὸς[47], πρὸς δὲ τὸ ἅγιον Πάσχα πεπέρασται. Δευτέραν σὺν ταύτῃ κάκωσιν προσέταξεν[48], στρατεύεσθαι πτωχοὺς καὶ ἐξοπλίζεσθαι παρὰ τῶν ὁμοχώρων, παρέχοντας καὶ ἀνὰ ὀκτωκαίδεκα[49] νομισμάτων[50] τῷ δημοσίῳ, καὶ[51] ἀλληλεγγύως (33) τὰ δημόσια. Τρίτην κακόνοιαν, ἐποπτεύεσθαι[52] πάντας, καὶ ἀναβιβάζεσθαι τὰ τούτων τέλη, παρέχοντας καὶ χαρτιατικῶν[53] (34) ἕνεκα ἀνὰ κερατίων δύο· καὶ πρὸς[54] τετάρτην, τοὺς κουφισμοὺς πάντας ἀναβιβάζεσθαι προσέταττεν. Πέμπτην, τοῖς τῶν εὐαγῶν οἴκων παροίκοις[55], τοῦ τε ὀρφανοτροφείου καὶ τῶν ξενώνων καὶ γηροκομείων τε καὶ ἐκκλησιῶν καὶ μοναστηρίων βασιλικῶν τὰ καπνικὰ (35) ἀπαιτεῖσθαι ἀπὸ τοῦ πρώτου ἔτους τῆς αὐτοῦ τυραννίδος, τὰ δὲ κρείττονα τῶν κτημάτων[56] (36) εἰς τὴν βασιλικὴν κουρατωρίαν (37) αἱρεσθαι, τὰ μέντοι τέλη αὐτῶν ἐπιτίθεσθαι τοῖς ἐναπομείνασιν εἰς τοὺς αὐτοὺς εὐαγεῖς οἴκους κτήμασι καὶ παροίκοις, ὡς διπλοῦσθαι πολλῶν τὰ τέλη, τῶν οἰκήσεων στενουμένων αὐτοῖς καὶ τῶν[57] χωρίων. Ἕκτην, σκοπεῖσθαι παρὰ τῶν στρατηγούντων τοὺς ἀθρόως ἐκ πτωχείας ἀνακτησαμένους, καὶ ἀπαιτεῖσθαι χρήματα ὡς εὑρετὰς θησαυρῶν. Ἑβδόμην, τοὺς πρὸ εἴκοσι χρόνων εὑρηκότας καὶ μέχρι τῆς δεῦρο πίθον ἢ σκεῦος ὁτιοῦν καὶ αὐτοὺς ἐξαργυρίζεσθαι. Ὀγδόην, τοὺς ἐκ πάππων ἢ πατέρων κληρονομήσαντας διαιρεθέντας ἐκ τῶν αὐτῶν χρόνων εἴκοσι, ἐξαναδιδόναι τῷ δημοσίῳ τοὺς πένητας, καὶ τοὺς ὠνησαμένους ἔξω τῆς Ἀβύδου σώματα οἰκετικὰ (38), ἀνὰ δύο νομισμάτων[58] τελέσαι[59] προσέταξεν, καὶ μάλιστα[60] τοὺς κατὰ τὴν Δωδεκάνησον. Ἐννάτην, τοὺς παραθαλασσίους[61] οἰκοῦντας, μάλιστα τῆς μικρᾶς Ἀσίας ναυκλήρους[62], μηδέποτε γηπονικῶς ζήσαντας (38*), ἄκοντας ὠνεῖσθαι ἐκ τῶν καθαρπαγέντων αὐτῷ κτημάτων, ὡς ἂν ἐκτιμωθῶσιν[63] παρ' αὐτῷ. Δεκάτην, τοὺς ἐν Κωνσταντινουπόλει ἐπισήμους ναυκλήρους συναγαγὼν δέδωκεν ἐπὶ τόκῳ τετρακεράτῳ τὸ νόμισμα ἀνὰ χρυσίου λιτρῶν δώδεκα, τελοῦντας καὶ τὰ συνήθη κομμέρκια. Ταῦτα ἐκ τῶν πολλῶν ὡς ἐν κεφαλαίῳ μικρά μοι ἐστηλογράφηται, δηλοῦντι τὸ πρὸς πᾶν εἶδος

deliquium horis tribus et media continuis, ab octava nimirum hora ad undecimam duravit. Mensis autem Junii die decimo septimo Michael in Bulgaros profectione suscepta, itineris sociam Tzulum usque Procopiam uxorem habuit. Porro cum Crummus Bulgarorum dux Debeltum obsidione cepisset, oppidanos una cum episcopo ejus se potestati submittentes in regionem aliam transportavit. Militares autem Michaelis copiæ maxime Opsicii et Thracensium, pessimis nefariorum imperatoris consiliariorum hortamentis ad insidias et contumelias se converterunt; quos Michael donis et oratione ad eos habita delinitos in ordinem composuit. Ubi Romani exercitus seditionem et ob belli sive in castris et aperto Marte, sive in præsidiis sustinendi metum eos tumultuari Bulgari perceperunt, in Thraciam atque Macedoniam latius grassati sunt. Sub id tempus, Anchialo et Berrhœa desertis, nemine insequente, fugam Christiani arripuere: Nicæamque et Probati castrum, et alia quædam munitiora loca, quemadmodum Philippopolim, Philippos et Strymonem incolentes occasionem nacti, in patrias suas fuga se receperunt. Exstitit hæc divina ultio Nicephori insaniam condemnans, qua, quæ præclarissima ejus apud homines æstimata facinora, quibus ipse plurimum gloriabatur, penitus dilapsa evanuerunt. Etenim ut plerasque istorum in opinionibus pravitates, et Paulicianorum et Athinganorum iconoclastarum, Tetraditarumque hæreses Deo exosas, et pridem serpentes incusare desinam (adulteria quippe, stupra, libidines, perjuria fratrum discordias, rapinas, cæteraque eorum scelera in lucem proferre prætereo) isti certe Constantino homine Deo exoso et ter infelice inter beatos collocato, quasi qui adversus Bulgaros, ob eam, qua præstabat, ut ipsi miseri prædicabant, pietatem, præclare se gessisset; subinde adversus sacras et venerandas imagines, et monasticum habitum linguas exacuebant, eorumdem autem nonnulli, imperatricis urbis incolæ redditi, a synodi œcumenicæ **421** tempore in orthodoxam fidem arma et bella instruebant, ipsique animabus excæcati, Constantini Dei hostis filios, homines Dei ignaros, et cæcitate corporea damnatos, et in Panormo insula custodiæ traditos, noctu secum rapere, et ad militares ordines productos ad imperii solium provehere consiliati sunt,

A καὶ παραινέσεσι κατεσίγησεν. Οἱ δὲ Βούλγαροι τὰ τῆς στάσεως μαθόντες τῶν στρατευμάτων, καὶ ὅτι πτοούμενοι τὸν πόλεμον καὶ τὸν ταξατιῶνα ἀτακτοῦσι, πλέον κατίσχυσαν Θρᾴκης καὶ Μακεδονίας. Τότε καὶ Ἀγχίαλον καὶ Βεροίην ἀφέντες Χριστιανοὶ, ἔφυγον, μηδενὸς διώκοντος, Νίκαιάν τε καὶ τὸ [68] τοῦ Προβάτου κάστρον, καὶ ἄλλα τινὰ ὀχυρώματα, ὡσαύτως καὶ τὴν Φιλιππούπολιν καὶ Φιλίππους καὶ τὸν Στρυμῶνα οἰκοῦντες [69] μέτοικοι προφάσεως δραξάμενοι, ἐν τοῖς ἰδίοις φεύγοντες ἐπανῆλθον. Τοῦτο δὲ ἦν θεομηνία τὴν τοῦ Νικηφόρου μανίαν ἐλέγχουσα [70], δι' ἣν τὰ δοκοῦντα κατορθώματα αὐτοῦ, ἐφ' οἷς ηὔχει, τάχιστα διαπέπτωκεν. Καὶ τὰς [71] τῶν πολλῶν κακοδοξίας, καὶ τὰς θεομάχους αἱρέσεις (56) πλεοναζούσας Παυλικιανῶν καὶ B Ἀθιγγάνων εἰκονοκλαστῶν καὶ Τετραδιτῶν ἀφέντες αἰτιᾶσθαι (ἀφῶ γὰρ λέγειν μοιχείας καὶ πορνείας, ἀσελγείας τε καὶ ἐπιορκίας, μισαδελφίας τε καὶ πλεονεξίας, καὶ τῶν λοιπῶν παρανομιῶν) κατὰ τῶν θείων καὶ σεπτῶν εἰκόνων καὶ τοῦ μοναδικοῦ [72] σχήματος ἐκίνουν τὰς γλώσσας, μακαρίζοντες Κωνσταντῖνον τὸν θεοβδέλυκτον καὶ τρισάθλιον, ὡς κατὰ Βουλγάρων ἀριστεύσαντα, δι' ἣν, ἐκεῖνοι ἀσεβῶς ἔλεγον οἱ τάλανες, εἶχεν εὐσέβειαν. Οἱ δὲ κατὰ (57) τὴν βασιλίδα πόλιν ὡπλίζοντο τὴν ὀρθόδοξον πίστιν μετὰ σύνοδον οἰκουμενικὴν ἀνατρέπειν, τυφλοὺς βουλόμενοι βασιλεύειν χωρὶς Θεοῦ, οἱ πεπηρωμένοι τὰς ψυχὰς, τοὺς υἱοὺς Κωνσταντίνου τοῦ Θεομάχου φρουρουμένους ἐν τῇ Πανόρμῳ νήσῳ κλέψαι διὰ C νυκτὸς ἠβουλήθησαν, καὶ ἀγαγεῖν [73] εἰς τὸ στράτευμα· ἀλλ' ὁ Κύριος [74] τούτους κατῄσχυνεν, διεγείρας Μιχαὴλ τὸν εὐσεβέστατον εἰς ἐκδίκησιν τῆς ἀληθείας. Διαλεχθεὶς γὰρ τὰ εἰκότα περὶ [75] πίστεως τοῖς λαοῖς ἀνυποκρίτως, ἀνέζευξεν ἐπὶ τὴν βασιλεύουσαν πόλιν. Καὶ σοφὸν διανοηθεὶς, τοὺς πολλοὺς τῶν νεωτεριστῶν δι' ὀλίγων πληγῶν κατεπτόησεν, ἐξορίσας καὶ τοὺς Κωνσταντίνου τυφλοὺς παῖδας εἰς Ἀφουσίαν [76] (58), ἕνα δὲ τῶν ἐμπεριάκτων [77] ψευδερημίτην Νικολάου τοῦ Ἐξακιονίτου συνγόητα εἰκόνα τῆς παναγίας Θεοτόκου ξέσαντα καὶ ἀτιμάσαντα [78] ἐγλωσσοτόμησεν, ὅστις συντέθνηκεν σὺν τῇ ψυχῇ καὶ τῷ σώματι· τὸν δὲ τούτοις [79] σύμφρονα Νικόλαον ἐπαγγειλάμενον μετανοεῖν, ἐπὶ πάντων ἐθριάμβευσεν, ἐξομολογούμενον τὰ ἑαυτοῦ κακά· καὶ παρD έδωκεν αὐτὸν ἐν μοναστηρίῳ πρὸς τὸ μὴ αὐτεξουσίως διάγειν. Τοῖς δὲ λαοῖς σιλεντιακῶς [80] ἐπὶ τῆς Μαγναύρας διαλεχθεὶς, τὰ τῆς κατὰ Θεὸν αὐτοῦ εὐ-

VARIÆ LECTIONES.

[68] καὶ τ add. ex A. [69] οἰκοῦντας vulg. [70] ἐλέγχουσα A, ἐλέγξασα vulg. [71] οἱ τὰς A. [72] μοναχικοῦ e. [73] ἀγαγεῖν A, εἰσάγειν vulg. [74] ἀλλ' ὁ K. A, ἀλλὰ K. vulg. [75] περὶ A, τῆς vulg. [76] Ἀφασίαν f. [77] ἐκπερισάκτων A. [78] ἀτιμάσαντα A, ἀτιμήσαντα vulg. [79] τούτοις A, τούτου vulg. [80] σιλεντιακῶς add. ex A.

JAC. GOARI NOTÆ.

(56) *Multorumque pravas opiniones* (nempe condemnans Dei ultio) *qui adversas Deo hæreses late serpentes Paulicianorum, etc., missas facientes, contra divinas ac venerandas imagines, ac monasticum habitum linguas movebant.* Hic planus sensus quem Græca habent, ac Anast. redditus. COMBEFIS.

(57) *Regiæ autem urbis cives ad fidem orthodoxam, quæ post synodum œcumenicam obtinuerat evertendam se accingebant, volentes in cæcos sine Deo transferre rerum summam: eoque cæci animo, impii Constantini filios*, nempe olim Constantino devoti cives, uti visum in Irene et Tarasio. ID.

(58) Insulam Propontidos; Ophiusam correctius dixeris, ad quam Joseph Thessalonicensis, et ejus frater Theodorus Studita exsularunt.

σεβοῦς γνώμης ἐφανέρωσεν δόγματα. Τοὺς δὲ Ἀθιγγάνους δημεύσας, ἐξορίᾳ παραδέδωκεν[81] διὰ Λέοντος τοῦ[82] στρατηγοῦ τῶν Ἀνατολικῶν. Τῷ δὲ Αὐγούστῳ μηνὶ τῆς πέμπτης ἰνδικτιῶνος Θεβὶθ κατὰ Χριστιανῶν ἐπεστράτευσεν. Τούτῳ συμβαλὼν Λέων ὁ τῶν Ἀνατολικῶν στρατηγὸς εὐδοκίμησε δισχιλίους κατασφάξας, καὶ ἵππους καὶ ἅρματα συλλαβόμενος. Μουαμὲδ δὲ ὁ πρῶτος υἱὸς Ἀαρὼν κρατῶν τὴν ἀρχὴν τοῦ ἔθνους, συμβαλὼν τῷ ἀδελφῷ αὐτοῦ Ἀβδελλᾶ κατὰ τὴν ἐνδοτέραν Περσικὴν ἡττήθη· καὶ καταφυγὼν εἰς τὸ Βαγδὰ (59) τοῦτο ἐκράτησεν. Τήν τε Δαμασκὸν ἄλλος κατέσχεν τύραννος, καὶ τὴν Αἴγυπτον καὶ Ἀφρικὴν δύο κατεμερίσαντο, καὶ τὴν Παλαιστίνην ἄλλος[83] λῃστρικῶς κατενέμετο.

A Verum Dominus ipsos cum dedecore compescuit, qui piissimum Michaelem ad veritatem vindicandam excitavit, qui cum audenter et simulatione rejecta congruentem de fide sermonem ad milites habuisset, ad imperantem urbem iter convertit, ubi solerti consilio inito, novatorum quam plurimos plagis haud multis inflictis deterruit, et Constantini filios oculis pridem orbatos Aphusiam in exsilium deportari jussit. Uni porro ex istis planis falsario eremitæ Nicolai Hexacionitæ in edendis præstigiis symmistæ, sanctissimæ Dei Genitricis imaginem abradere et contumeliis afficere auso linguam præscidit, qui animæ simul et corporis interitu raptus est, sententiæ vero morumque sodalem Nicolaum pœnitentiam agere pollicitum per civium urbis omnium oculos crimina sua publice fateri coactum traduxit, ac ne libere quæ placita forent exsequeretur, in monasterium retrusit. Universo autem exercitui ad allocutionem ad Magnauram convocato, religiosæ suæ in Deum mentis dogmata cuncta exposuit, adhibita quoque Leonis Orientalium ducis opera, Athinganos publice proscriptos in exsilium amandavit. Indictionis autem quintæ Augusto mense Thebith in Christianos arma movit. Pugna subinde cum eo inita, Leo orientalium agminum dux bis mille ex ejus militibus prostratis, equis etiam eorum et armis captis, ingens ex illa victoria nomen sibi peperit. Cæterum Muamed filiorum Aaron senior, ac gentis imperio potitus, commisso cum fratre Abdella certamine, in Persia interiore succubuit, arreptaque fuga Bagdam se recipiens, locum occupavit. Damascum vero alius obtinuit tyrannus, et alii duo Ægyptum et Africam inter se partiti sunt, et Palæstinam demum alter prædonis in morem depopulatus est

A. M. 6305. — Τούτῳ τῷ ἔτει Κροῦμμος ὁ τῶν B Βουλγάρων ἀρχηγὸς[84] διὰ Δαργαμηροῦ τὰ περὶ τῆς εἰρήνης αὖθις πρὸς Μιχαὴλ τὸν[85] βασιλέα ἀπρεσβεύσατο, ζητῶν τὰς ἐπὶ Θεοδοσίου τοῦ Ἀδραμυντινοῦ στοιχηθείσας καὶ Γερμανοῦ τοῦ πατριάρχου σπονδὰς πρὸς Κομέρσιον τὸν κατ' ἐκεῖνο[86] καιροῦ κύριον Βουλγαρίας· αἳ τοὺς[87] ὅρους περιεῖχον ἀπὸ Μηλεώνων τῆς Θρᾴκης. Ἐσθῆτά τε καὶ κόκκινα δέρματα ἕως[88] τιμῆς τριάκοντα λιτρῶν χρυσίου· καὶ ἐπὶ τούτοις τοὺς πρόσφυγας ἑκατέρων τῶν μερῶν[89] ἀποστρέφεσθαι πρὸς ἑκάτερον, κἂν τύχωσιν ἐπιβουλεύοντες ταῖς ἀρχαῖς. Τοὺς δὲ ἐμπορευομένους εἰς ἑκατέρας τὰς χώρας διὰ σιγιλλίων (60) καὶ σφραγίδων συνίστασθαι τὰ προσόντα αὐτοῖς (61), καὶ εἰσκομίζεσθαι τοῖς δημοσίοις λόγοις. Ἔγραψεν δὲ καὶ[90] κατακρίσεις (62) πρὸς τὸν βασιλέα, ὅτι Εἰ μὴ C

A. C. 805. — Hoc anno Crummus Bulgarorum princeps Dargamerum legatum cum imperatore Michaele tractaturum misit, conditionesque Comersio tunc temporis Bulgariæ domino concessas, ac sub Theodosio Adramytino et Germano patriarcha ictas adimpleri postulavit. Eæ porro ditionibus utriusque principis limites præfigebant a Thraciæ Meleonis, vestes **422** rubrasque pelles ad auri librarum triginta pretium dandas, insuper ex utraque parte fugitivos utrique principi mutuo restituendos, licet in rempublicam perduelles forent, mercaturam inter utramque ditionem exercentes res suas venales litteris et sigillis commendatas et firmatas in publicas rationes inferre deberent. Scriptis præterea minis imperatorem contestatus, *Nisi pacem*, inquit, *quantocius duxeris amplexandam*,

VARIÆ LECTIONES.

[81] παρέδωκεν A. [82] τοῦ add. ex A. [83] ἄλλος] ἕτερος A. [84] ἀρχηγὸς A, στρατηγὸς vulg. [85] τὸν add. ex A. [86] ἐκεῖνο A, ἐκείνου vulg. [87] τοὺς add. ex A. [88] ἕως add. ex A. [89] τῶν μερῶν om. A. [90] καὶ post δὲ add. ex A.

JAC. GOARI NOTÆ.

(59) Ita Græci codices cuncti. Anastasius et Miscella *Bagda*. Recentiores *Bagdat* pronuntiant. Abraham Ecchellensis in *Historia Saracenica : Abugiafar Abd-alla* (*ultimus est hujus nominis a Theophane inter Arabum principes sive caliphas recensitus*) *construxit Bagdadum, sive Babylonem et incoluit eum anno centesimo quadragesimo quinto.*

(60) Haud *sigillum* modo, sed et diploma, cui solet apponi, τὸ σιγίλλιον refert. Σιγιλλίῳ namque, σφραγὶς, *sigillum*, et principis character adjungitur. Ipsi textus a Meursio in medium adducti id convincunt. Isacii Comneni Const. Καθὼς καὶ ἐν τοῖς σιγιλλίοις τῶν παλαιῶν ἀναγράφονται· *Prout in veterum diplomatibus refertur*. Constantini *De administr. imp.* δεδωκὼς περὶ αὐτῶν καὶ σιγίλλιον ἐν τῇ αὐτῇ μητροπόλει· *dato in ipsa metropoli diplomate*. Methodii in epist. ad Zygomalam, τὰ γὰρ πάλαι διὰ χρυσοβούλλων καὶ σιγιλλίων διακριθέντα, *Quæ quondam per aureas bullas, et diplomata dijudicata.*

(61) Ante καὶ εἰσκομίζεσθαι liquet esse lacunam: neque enim mercatoribus, qui sub sigillis ac fide publica advectas merces repræsentant, congruit, *ut illæ in publicas rationes inferantur*, quod est fisco addici. Suppl. ergo ex Anast., *si qui vero sine signaculis inventi fuissent, diriperentur, et in publicas rationes inferrentur* : qua fere pœna multantur, qui furtive merces invehunt. Combefis.

(62) *Sed et conceptum decretum misit.* Quam sic severe notat sententiam Theophanes, ut non essent reddendi profugi, essetque illorum causa bellum suscipiendum, etiam deinceps CP. probata fuit, spreta illa Theophanis contraria, quam etiam anonymus continuator brevi producendus multis tuetur ac laudat. Potuisset forsan auctor mitior esse in præclarissimum fidei pugilem, totiusque religionis columen Theodorum Studitam. Id.

tuo ipsis judicio in Mesembriam obsidionem parabo. Illis acceptis, imperator improborum consiliis ductus pacem admittere detrectavit. Falsæ quippe pietatis obtentu, dicam melius ignorantiæ, quæ rem communem perderet, ductu, consultores isti sinistri suggerebant, fugitivos minime restituendos, ac in datæ sententiæ argumentum evangelica Domini auctoritate prolata, *Ad me accedentem*, aiebant, *non ejiciam foras* [c]. Medio vero mensis Octobris decursu aciem instruxit Crummus adversus Mesembriam, machinis ad urbis expugnationem adductis, quarum usum a Nicephoro Christianorum profligatore ex occasione hujusmodi acceperat. Arabem enim quemdam arte mechanica præstantem, et in ea versatissimum ad ecclesiæ baptismum accedentem militiæ ascripserat, et Adrianopoli sedem assignaverat. At cum pro merito nec exspectatam mercedem, nec beneficium viro impertiretur, quin imo stipendiorum parte truncata spe defraudaret, et ad querelas compulsum etiam duris verberibus castigasset, ille desperatione actus, ad Bulgaros profugit, et condendarum machinarum artem omnem eos edocuit. Machinis igitur istiusmodi Crummus instructus, nemine ex inertia vecordiaque vires adversas opponente, intra mensis finem urbe potitus est. Imperator in mentis angustiam conjectus, mensis Novembris Kalendis, patriarcha ad colloquium advocato, de componenda cum hostibus pace consilium quærebat. Aderant conventui Nicænus et Cyzicenus metropolitæ, et ex pravis consiliariis manus haud contemnenda. Ac patriarcha quidem et metropolitæ imperatoris sensum secuti pacem amplectabantur, sed improbi consiliarii una cum Theodoro Studii præposito, eversis contrariæ sententiæ dictis, eam rejiciebant, confirmantes *pacem quæ Dei mandata rescindat non esse admittendam.* [Istud enim, *Venientem ad me non emittam foras* [c], Dominus decrevit], aiebant, quæ proferrent, et in cujus argumentum hæc producenda vere nescii. Primo quidem quoniam nemine ex eis ad nos transfugiente, eos qui intra aulam erant, cum ipsos pace composita servare possemus, prodidimus. Secundo quia licet **423** quidam ex eis pauci transfugerint, plurium certe potius, ejusdemque nobiscum nationis et sanguinis consortium satagere, quam incertis quibusdam nobis propositis ficto quæstu ditescere decebat. Plures enim quam paucos servare Deo magis gratum est. Ingens autem damnum levissimæ accessionis spe sibi comparare dementiam recte dixeris: et qui nullam de domesticis sive familiaribus curam gerit, is Paulo quidem

σπεύσει [91] *πρὸς εἰρήνην, τῷ κρίματί σου παρατάσσομαι κατὰ Μεσημβρίας.* Ταῦτα δεξάμενος ὁ βασιλεὺς ταῖς τῶν κακοσυμβούλων [92] εἰσηγήσεσιν οὐ προσήκατο τὴν εἰρήνην. Εὐσεβείας γὰρ δῆθεν ψεύδους, μᾶλλον δὲ ἀμαθίας, καὶ περὶ τὸ κοινὸν ἀπωλείας οἱ παρασυμβουλευταὶ ἔφασκον ὅτι οὐ δεῖ τοὺς προσφεύγοντας ἀποδίδοσθαι, ἐπιφθεγγόμενοι εἰς μαρτυρίαν καὶ τὸ εὐαγγελικὸν τοῦ Κυρίου λόγιον [93], ὅτι *Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω* [94] *ἔξω.* Μεσοῦντος δὲ τοῦ Ὀκτωβρίου μηνὸς παρετάξατο ὁ [95] Κροῦμμος κατὰ Μεσημβρίαν [96] ἐν μηχανήμασι μαγγανικῶν καὶ ἑλεπόλεων, ἃ τῇ προφάσει Νικηφόρου [97] τοῦ καταλυτοῦ τῶν Χριστιανῶν μεμάθηκεν (63). Ἄραβα γάρ τινα προσελθόντα τῷ βαπτίσματι πάνυ ἔμπειρον μηχανικῆς ὑπάρχοντα στρατεύσας, ἐν Ἀδριανουπόλει κατέστησεν, μηδεμίαν κατ' ἀξίαν ἀντίληψιν εἰς αὐτὸν ἢ εὐεργεσίαν ποιήσας, ἀλλ' ἢ μᾶλλον καὶ τὴν ῥόγαν αὐτοῦ κολοβώσας, τὸν δὲ γογγύσαντα ἔτυψεν σφοδρῶς· ἀπονοηθεὶς [98] δὲ ἐπὶ τούτῳ, προσέφυγεν τοῖς Βουλγάροις, καὶ ἐδίδαξεν αὐτοὺς πᾶσαν μαγγανικὴν τέχνην. Ἐν τούτοις παραταξάμενος [99], μηδενὸς ἀντιταξαμένου διὰ πολλὴν [1] σκαιότητα, δι' ὅλου τοῦ μηνὸς παρέλαβεν αὐτήν. Τῇ δὲ πρώτῃ τοῦ Νοεμβρίου μηνὸς προσκαλεσάμενος ὁ βασιλεὺς τὸν πατριάρχην, περιστατηθεὶς [2] ἐβουλεύετο περὶ εἰρήνης· παρῆσαν δὲ καὶ μητροπολῖται [3], ὅ τε Νικαίας καὶ ὁ Κυζίκου, συμπαρόντων καὶ τῶν παρασυμβούλων. Καὶ ὁ μὲν πατριάρχης καὶ οἱ μητροπολῖται σὺν τῷ βασιλεῖ τὴν εἰρήνην ἠσπάζοντο· οἱ δὲ κακοὶ σύμβουλοι σὺν Θεοδώρῳ τῷ ἡγουμένῳ [4] τῶν Στουδίου ταύτην ἀνέτρεπον, φάσκοντες· *Ἐπ' ἀνατροπῇ τῆς θείας ἐντολῆς οὐ δεῖ ἀσπάζεσθαι τὴν εἰρήνην. Τὸν γὰρ ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω* [5] *ἔξω, ὁ Κύριος ἀπεφήνατο,* μὴ εἰδότες, μήτε ἃ λέγουσιν, μήτε περὶ τίνων διαβεβαιοῦνται· πρῶτον μὲν ὅτι μηδενὸς πρὸς ἡμᾶς ἐξ αὐτῶν προσφεύγοντος, ἡμεῖς τοὺς ἔσω τῆς αὐλῆς προδεδώκαμεν, δυνάμενοι τούτους εἰρηνεύοντες περισώσασθαι [6]· δεύτερον δὲ ὅτι, εἰ καὶ προσέφυγόν τινες σπάνιοι, τὴν τῶν πλειόνων μᾶλλον καὶ ὁμοφύλων σωτηρίαν ἐχρῆν πραγματεύσασθαι, ἢ ἐπ' ἀδήλοις καὶ ἀφανέσι [7] πλουτεῖν. Φίλον γὰρ Θεῷ πλείστους ἢ ὀλίγους σώζεσθαι. Τὸ δὲ ζημιοῦσθαι πλεῖστα διὰ μικρὸν κέρδος πρώτης ἀνοίας. Ἀλλὰ καὶ ὁ [8] περὶ τοὺς οἰκείους ἀπρονοήτως διακείμενος, τὴν πίστιν, κατὰ Παῦλον, ἤρνηται, καὶ χείρων ἀπίστου κρίνεται. Ποῦ δὲ καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην [9] ἤμην εἰρηνικός, εἰ μή που καὶ Παύλου καὶ Δαβὶδ οὗτοι σοφώτεροι; τίς δὲ Γερμανοῦ τοῦ τρισμάκαρος σοφώτερος νῦν, εἰ μὴ κατὰ τὴν [10] ψυχόλεθρον οἴησιν οἱ κακοὶ παρασύμβουλοι, οἱ τὴν εἰρήνην

[c] Joan. vi, 37.

VARIÆ LECTIONES.

[91] σπεύσει A, σπεύσῃ vulg. [92] κακοσυμβούλων A e f, κακοβούλων vulg. [93] λόγιον A, λόγων vulg. [94] ἐκβάλω A, ἐκβάλλω vulg. [95] ὁ add. ex A. [96] Μεσημβρίαν A, Μεσημβρίας vulg. [97] Νικηφ. A, τοῦ Νικ. vulg. [98] ἀπονοηθεὶς A, ἀποῤῥηθεὶς vulg. [99] παραστησάμενος A. [1] διὰ πολλὴν A, διὰ τὴν πολλ. vulg. [2] περισταθεὶς f. [3] καὶ μ. A, οἱ μ. vulg. [4] τῷ ἡγ. τῶν A, ἡγ. τοῦ vulg. [5] οὐ μὴ ἐκβάλω A, οὐκ ἐκβάλλω vulg. [6] περισώσασθαι A, περισῶσαι vulg. [7] καὶ ἀφανίσαι vulg. [8] καὶ ὁ add. ex A. [9] τὴν εἰρ. A, εἰρ. vulg, [10] τὴν add. ex A.

JAC. GOARI NOTÆ.

(63) Ad annum Nicephori 7, pag. 410; de illo superius agitur.

χωλύσαντες; Ταῦτα κατὰ τὴν πρώτην γέγονε τοῦ A Νοεμβρίου μηνὸς [11], ὡς εἴρηται. Τῇ δὲ τετάρτῃ τοῦ αὐτοῦ [12] μηνὸς ὤφθη κομήτης ἐν σχήματι λαμπρῶν δύο σεληνίων [13] ἑνωθέντων καὶ πάλιν διαιρεθέντων εἰς διάφορα σχήματα, ὡς καὶ ἀκεφάλου ἀνδρὸς [14] διάπλασιν τυπωθῆναι. Καὶ τῇ ἐπαύριον ἡ περὶ τῆς ἁλώσεως Μεσημβρίας ἦλθεν ἡμῖν ἐλεεινὴ φάσις [15] πάντας πτοοῦσα διὰ μειζόνων κακῶν ἀπεκδοχήν. Εὑρόντες γὰρ αὐτὴν οἱ ἐχθροὶ πεπλησμένην πάντων τῶν ὀφειλόντων πρὸς κατοίκησιν ἀνθρώπων παρεῖναι πραγμάτων, ταύτην ἐκράτησαν σὺν τῇ Δεβελτῷ, ἐν οἷς καὶ σίφωνας χαλκοῦς εὗρον λϛ', καὶ τοῦ δι' αὐτῶν ἐκπεμπομένου [16] ὑγροῦ πυρὸς οὐκ ὀλίγον, χρυσοῦ τε καὶ ἀργύρου πλῆθος. Τῷ δ' αὐτῷ ἔτει καὶ πολλοὶ τῶν κατὰ Παλαιστίνην Χριστιανῶν μοναB χῶν καὶ λαϊκῶν καὶ ἐκ πάσης Συρίας τὴν Κύπρον κατέλαβον, φεύγοντες τὴν ἄμετρον κάκωσιν τῶν Ἀράβων. Ἀναρχίας γὰρ καθολικῆς κατασχούσης Συρίαν καὶ Αἴγυπτον καὶ Ἀφρικὴν καὶ πᾶσαν τὴν ὑπ' αὐτοὺς [17] ἀρχὴν, φόνοι τε καὶ ἁρπαγαὶ καὶ μοιχεῖαι, ἀσέλγειαί τε καὶ πᾶσαι πράξεις θεοστυγεῖς ἐν κώμαις τε καὶ πόλεσι ὑπὸ τοῦ θεολέτου [18] αὐτῶν ἔθνους ἐπράττοντο [19]. Οἵ τε κατὰ τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλιν σεβάσμιοι τόποι τῆς ἁγίας ἀναστάσεως, τοῦ Κρανίου καὶ τῶν λοιπῶν ἐβεβηλώθησαν. Ὁμοίως δὲ καὶ αἱ κατὰ τὴν ἔρημον διαβόητοι λαῦραι τοῦ Ἁγίου Χαρίτωνος (64) καὶ τοῦ Ἁγίου Σάββα, καὶ τὰ λοιπὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι ἠρημώθησαν. Καὶ οἱ μὲν ἀνῃρέθησαν μαρτυρικῶς, οἱ δὲ τὴν Κύπρον κατέλαβον, καὶ ἐκ ταύτης τὸ Βυ- C ζάντιον, οὓς Μιχαὴλ ὁ εὐσεβὴς βασιλεὺς καὶ Νικηφόρος ὁ ἁγιώτατος πατριάρχης φιλοφρόνως [20] ἐξένισαν. Τοῖς μὲν γὰρ ἐλθοῦσιν ἐν τῇ πόλει μοναστήριον ἐπίσημον ἐδωρήσαντο [21]· τοῖς δὲ κατὰ τὴν Κύπρον ἐναπομείνασι μοναχοῖς τε καὶ λαϊκοῖς τάλαντον χρυσίου ἀπέστειλαν, καὶ παντοίως τούτους ἐθεράπευσαν. Ἦν μὲν οὖν Μιχαὴλ εἰς πάντας χρηστὸς καὶ ἐπιεικὴς, περὶ δὲ τῆς τῶν [22] πραγμάτων διοικήσεως ἀκυβέρνητος, δεδουλωμένος Θεοκτίστῳ μαγίστρῳ καὶ τοῖς λοιποῖς ἄρχουσιν. Τῷ δὲ Φεβρουαρίῳ μηνὶ δύο Χριστιανῶν ἐκ Βουλγαρίας φυγόντων, ἐμήνυσαν τῷ βασιλεῖ Κροῦμμον λοχῆσαι σπεύδοντα τοὺς ἐν τῇ Θρᾴκῃ ἀθρόως. Καὶ τῇ ιε' τοῦ μηνὸς ἐξῆλθεν ὁ βασιλεὺς τῆς πόλεως, καὶ Θεοῦ προνοίᾳ ἄπρακτος ἀνD έστρεψεν Κροῦμμος οὐκ ὀλίγους ἀποβαλών. Ὁ δὲ βασιλεὺς τὴν Ἀδριανούπολιν καταλαβὼν, καὶ διευθετήσας τὰ κατ' αὐτὴν, ἀνέστρεψεν μετὰ χαρᾶς. Καὶ ἀνελθὼν εἰς τὴν μονὴν τοῦ Ἁγίου Ταρασίου τοῦ πατριάρχου, καὶ ἐπιτελέσας αὐτοῦ τὰ μνημόσυνα ἅμα

A judice fidem abnegat, et infideli deteriorem se præstat : quo vero loco reponendum illud, cum iis qui pacem oderant, pacem ego agebam ; nisi forte Paulo et Davide sapientiores esse se prædicent ? vel quis ter beato Germano prudentior, nisi forte isti ex fastu animæ pernicioso pessimi consiliarii, qui paci conficiendæ impedimentum opponere non sunt veriti ? Ista, ut præmisimus, Novembris die primo gesta sunt. Mensis autem ejusdem die quarto cometes visus est lunarum duarum ad invicem junctarum formam referens, quæ rursus ab invicem sejunctæ, et in varias formas figuratæ, in hominis capite truncati speciem desierunt. Insequenti die infelix nuntius de Mesembriæ clade ad nos delatus B est, qui omnes ob graviorum malorum exspectationem perterruit. Eam enim bonorum omnium ad commodam habitationem necessariorum copia refertam comperientes, una cum Debelto cepere, quibus in locis siphones ærei triginta sex, atque ignis liquidi per eos emittendi, necnon auri argentique vis immensa reperta est. Eodem etiam anno Christiani plurimi, cum monastici, tum laici ordinis ex Palæstina et universa Syria, intolerandum Arabum jugum illatamque sibi vexationem fugientes, Cyprum se receperunt. Cum enim imperandi jus universum, et potestatis legitime gubernantis ordo per Syriam, Ægyptum, Africam, et universam Arabum ditionem divulsus ac penitus prostratus jaceret, cædes, rapinæ, adulteria, libidines, omnia denique scelera C Deo odiosa, tam in plagis, quam in ipsis civitatibus ab ista gente cœlitus profliganda admittebantur. Tum vero in sancta Christi Dei nostri civitate, sanctæ resurrectionis et Calvariæ veneranda loca, nec non alia quæque sacra vestigia profanata sunt; celebresque illæ per desertum positæ Lauræ, SS. Charitonis et Sabbæ, reliquaque monasteria et ecclesiæ cunctæ desolatæ, et Christianorum quidem nonnulli vitam martyrio commutarunt, alii Cyprum fuga lapsi, ex ea Byzantium petierunt, quos pientissimus imperator Michael et sanctissimus patriarcha Nicephorus sollicitis charitatis operibus relevandos curarunt. In urbem enim **424** confluentibus monasterium insigne dedit incolendum, ad eos autem qui in Cypro se continuerunt, monachis ex æquo et laicis D auri talento destinato, cunctos sedulo cultu prosecutus est. Ingenii siquidem humani, et in lenitatem propensi Michael exstitit, rerum licet administrandarum inexpertum prorsus se præstiterit : quippe qui Theoctisto magistro cæterisque proceribus

VARIÆ LECTIONES.

[11] μηνὸς add. ex A. [12] τοῦ αὐτοῦ A, τοῦ Αὐγούστου vulg. [13] σεληνίων A, σεληνῶν vulg. [14] ὡς καὶ ἀκεφάλου ἀνδρὸς A, καὶ εἰς ἀκέφαλον ἄνδρα vulg. [15] φάσις A, φαῦσις vulg. [16] ἐκπεμπομένου A, ἐκπεπομπένου vulg. [17] αὐτοὺς A, αὐτῶν vulg. [18] θεολέτου A, θεολέστου vulg. [19] ἐπράττοντο A, ἐπράττετο vulg. [20] φιλοφρόνως A, φιλοπόνως vulg. [21] ἐδωρήσαντο — ἀπέστειλαν — ἐθεράπευσαν A, ἐδωρήσατο — ἀπέστειλεν — ἐθεράπευσεν vulg. [22] τῶν add. ex A.

JAC. GOARI NOTÆ.

(64) Hæc ad Bethleem et Rachelis sepulcrum exstructa, quam vidisse se Georgius Syncellus testatur pag. 57. Laura porro majus monasterium est, et cellarum ab invicem dissitarum et per æqua spatia distributarum ordinata collectio : qualis Camaldulensium vel Cartusianorum. Cyrillus in S. Sabæ Vita : nos quoque ad memoratum Syncelli locum, et ad pag. 239.

servili more se submitteret. Porro mense Februario Christiani duo ex Bulgaria fuga lapsi, Crummum ex improviso Thraciam devastare consiliatum imperatori nuntiaverunt. Mensis autem ejusdem die decimo quinto imperatore profectionem suscipiente, Crummus, Deo ita provide disponente, multis exercitus sui desideratis, infecta re pedem in propriam ditionem retulit. Imperator vero Adrianopolim se conferens, rebus in ea secundum ordinem compositis, cum gaudio Cpolim reversus est. In sancti subinde patriarchæ Tarasii monasterium una cum Procopia Augusta profectus, defuncti memoriæ justis parentatis, sacrum ejus sepulcrum laminis argenteis pondo nonaginta quinque librarum circumtexit. Cæterum Mesembria Romanis erepta, imperator pacis conditiones a Crummo oblatas repudians, exercitum ex thematibus cunctis collectum in Thraciam jussit trajicere, quod cuncti moleste ferre, maxime Cappadoces atque Armeniaci. Imperatorem itaque militares copias urbe educentem, Procopia Augusta usque ad aquæductus juxta Heracliam prosecuta est, quod milites ægerrime passi, imperatorem conviciis et contumeliis palam incessebant. Maii porro mensis die quarto solis defectio contigit, ipso secundum horoscopum ad gradum Tauri duodecimum exoriente, ex quo terror ingens militum animis incubuit. Imperator autem ducibus et militaribus ordinibus eductis, Thraciam obambulare, sed neque Mesembriam aggredi, neque profligandis hostibus necessarium quippiam moliri ausus est; insanis nimirum consiliariorum suorum sermonibus fidem adhibens, qui cum artis bellicæ rudes plane essent, hostem in eum minime processurum affirmabant, sed potius in propria regione semper consessurum. Porro provincialium rebus necessariis destitutorum, rapinisque et invasionibus oppidanos vexantium barbarica excursione gravior multo damnosiorque exstitit adventus. Sub mensis autem Junii principium Crummus Bulgarorum princeps, aciebus ad pugnam paratis, Christianorum exercitum numerosissimum esse suspicatus, in Romanos movit, et ad Bersiniciam tricesimo circiter lapide ab imperatoris castris sua posuit. Tum vero Leo **425** Orientalium dux et patricius, et Joannes cognomento Aplaces Macedoniæ dux ac pariter patricius, ad pugnam committendam expediti, et animis incitati, a perversis imperatoris consiliariis præpediti sunt. Urbe autem universa una cum suo pontifice preces ac processiones ad sanctorum Apostolorum peragente, quidam ex impiis sectatoribus hæreseos, quam Deo exosus Constantinus tenuit, imperatorialium sepulcrorum, nemine propter turbæ frequentiam advertente, portam, vecte in eam impulso dere-

A Προκοπίᾳ τῇ Αὐγούστῃ, ἀργυροπετάλῳ [23] λιτρῶν ἐνενήκοντα πέντε τὸν ἱερὸν αὐτοῦ τάφον ἠμφίασεν. Μετὰ δὲ τὴν ἅλωσιν [24] Μεσημβρίας ἀπειπὼν ὁ βασιλεὺς τὰ πρὸς εἰρήνην Κρούμμου, ἐκ πάντων τῶν θεμάτων στρατολογήσας, πρὸ τοῦ ἔαρος εἰς τὴν Θρᾴκην περαιοῦσθαι ἐκέλευσεν· ὥστε πάντας δυσχεραίνειν, μάλιστα τοὺς Καππαδόκας καὶ Ἀρμενιακούς. Τοῦ δὲ βασιλέως ἐξελθόντος μετὰ τῶν ταγμάτων μηνὶ Μαΐῳ συνεξῆλθεν πάλιν καὶ Προκοπία ἡ Αὐγοῦστα [25] ἕως τῶν Ἀκιδούκτου πλησίον Ἡρακλείας. Τὰ δὲ πλήθη ἐπὶ τούτῳ [26] δυσχεραίνοντα εἰς δυσφημίαν καὶ λοιδορίαν ἐτράπησαν κατὰ Μιχαήλ. Τῇ δὲ δʹ τοῦ Μαΐου μηνὸς ἔκλειψις ἡλίου γέγονεν περὶ τὴν δωδεκάτην μοῖραν τοῦ Ταύρου κατὰ τὸν ὡροσκόπον ἀνατέλλοντος τοῦ ἡλίου· καὶ πολὺς φόβος B ἔπεσε τοῖς ὄχλοις. Ὁ δὲ βασιλεὺς περιεπόλευσε τὴν Θρᾴκην σὺν τοῖς στρατηγοῖς καὶ τοῖς στρατεύμασι, μήτε κατὰ Μεσημβρίαν [27] ἀπερχόμενος, μήτ' ἄλλο τι τῶν ὀφειλόντων εἰς καθαίρεσιν ἐχθρῶν διαπραττόμενος, ἀλλ' ἢ μόνον πειθόμενος λόγοις ματαίοις τῶν ἀπειροπολέμων αὐτοῦ συμβούλων φασκόντων μὴ τολμᾷν τὸν ἐχθρὸν κατ' αὐτοῦ ἐλθεῖν ἐν τῇ ἰδίᾳ χώρᾳ καθεζομένου. Καὶ ἦν βαρβαρικῆς ἐφόδου βαρυτέρα ἡ τῶν ὁμοφύλων πληθύς, ἀπορουμένων εἰς τὰς ἀναγκαίας χρείας, καὶ ἁρπαγαῖς καὶ ἐπιβάσεσι λυμαινομένων τοὺς ἐγχωρίους. Περὶ δὲ τὰς ἀρχὰς τοῦ Ἰουνίου μηνὸς ἐξῆλθεν Κροῦμμος [28] ὁ τῶν Βουλγάρων ἀρχηγὸς σὺν τοῖς ἰδίοις στρατεύμασιν, ὑφορώμενος τὰ τῶν Χριστιανῶν πολλὰ εἶναι σφόδρα. C Στρατοπεδεύσας δὲ εἰς Βερσινικίαν ὡς ἀπὸ σημείων τριάκοντα τοῦ βασιλικοῦ φοσσάτου, Λέων ὁ τῶν Ἀνατολικῶν πατρίκιος καὶ στρατηγὸς, καὶ Ἰωάννης πατρίκιος καὶ στρατηγὸς Μακεδονίας, ὁ Ἀπλάκης, πολλὰ προθυμούμενοι τούτους πολεμῆσαι, ἐκωλύθησαν ὑπὸ τοῦ βασιλέως διὰ τῶν κακοσυμβούλων [29]. Τῆς δὲ πόλεως λιτανευούσης μετὰ τοῦ ἀρχιερέως ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, τινὲς τῶν δυσσεβῶν τῆς μιαρᾶς αἱρέσεως τοῦ θεοστυγοῦς Κωνσταντίνου μοχλεύσαντες τὴν πύλην τῶν βασιλικῶν τάφων, μηδενὸς προσέχοντος διὰ τὴν συνοχὴν τοῦ ὄχλου, ἀθρόως ἀνοιχθῆναι μετά τινος κτύπου παρεσκεύασαν, ὡς ἐκ θείας τινὸς τερατουργίας· καὶ ἔνδον εἰσπηδήσαντες, προσέπιπτον τῷ τοῦ πλάνου μνήματι τοῦτον ἐπικαλούμενοι, καὶ οὐ Θεὸν, *Ἀνάστηθι*, D λέγοντες, *καὶ βοήθησον τῇ πολιτείᾳ ἀπολλυμένῃ*· διαφημίσαντες, ὅτι ἀνέστη ἔφιππος, καὶ πορεύεται πολεμῆσαι Βουλγάρους ὁ τάρταρον οἰκῶν μετὰ δαιμόνων. Τούτους συλλαβόμενος ὁ τῆς πόλεως ὕπαρχος [30] τὸ μὲν πρῶτον ἐψεύδοντο θεόθεν αὐτομάτως τὰς τῶν τάφων πύλας ἀνεῷχθαι· παραστάντες δὲ τῷ ἐπαρχικῷ βήματι, καὶ περὶ τὴν μαρτυρίαν ὀκλάσαντες, τὸ τῆς μοχλεύσεως δρᾶμα πρὸ πάσης ἐξεῖπον [31] τιμωρίας· οὓς ἀξίως μοχλεύσας πομπῇ δημοσίᾳ παρέπεμψεν ἀναβοῶντας τῆς τιμωρίας τὴν

VARIÆ LECTIONES.

[23] ἀργυροπετάλῳ A, ἀργυροπετάλων vulg. [24] ἅλωσιν A, ἀνάλωσιν vulg. [25] καὶ Πρ. ἡ Αὐγ. A, ἡ Πρ. Αὐγ. vulg. [26] τούτῳ] τοῦτο A, τούτου vulg. [27] Μεσημβρίαν A, Μεσημβρίας vulg. [28] Κρ. A, ὁ Κρ. vulg. [29] κακοσυμβούλων A, κακῶν συμβούλων vulg. [30] ἔπαρχος A. [31] ἐξεῖπω f.

πρόφασιν. Οὕτω γὰρ ὁ τῆς κακίας εὑρετὴς διάβολος A τοὺς στρατευομένους ἐξεπαίδευσεν, ὡς μὴ αἰτιᾶσθαι τὰς ἑαυτῶν ἁμαρτίας, ἀλλὰ τὴν ὀρθόδοξον καὶ πατροπαράδοτον πίστιν, καὶ τὸ τῶν μοναστῶν ἱερὸν σχῆμα, τὸ τῆς κατὰ Θεὸν φιλοσοφίας γυμνάσιον. Οἱ δὲ πολλοὶ τῶν ταῦτα βλασφημούντων σχήματι μόνον ἦσαν Χριστιανοὶ, τῇ δὲ ἀληθείᾳ Παυλικιανοί· οἵτινες μὴ [97] δυνάμενοι τὰ μυσαρὰ ἑαυτῶν δόγματα παρεμφαίνειν, τῇ τοιαύτῃ προφάσει τοὺς ἀμαθεῖς παρενόθευον, Κωνσταντῖνον τὸν Ἰουδαιόφρονα μακαρίζοντες, ὡς προφήτην καὶ νικητὴν, καὶ τὴν κακοδοξίαν αὐτοῦ ἐπ' ἀνατροπῇ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀσπαζόμενοι. Τῇ δὲ κβ' τοῦ Ἰουνίου μηνὸς παραταξάμενοι, Χριστιανοί τε καὶ Βούλγαροι οὐ μακρὰν τῆς Ἀδριανουπόλεως, πταίουσι μὲν οἱ Χριστιανοὶ σφόδρα B δεινῶς περὶ τὸν πόλεμον· κρατοῦσι δὲ τῆς μάχης οἱ ἐχθροὶ τοσοῦτον, ὥστε τοὺς πλείστους Χριστιανοὺς μήτε τὴν πρώτην συμβολὴν θεασαμένους ἄκρᾳ φυγῇ χρήσασθαι· ὥστε τὸν Κροῦμμον καταπλαγέντα νομίσαι λοχισμοῦ τινος τρόπον εἶναι τὸ γινόμενον, καὶ μικροῦ ἐπισχεῖν τοὺς ἑαυτοῦ πρὸς τὴν δίωξιν. Ἐπεὶ δὲ εἶδεν αὐτοὺς ἀκρατῶς φεύγοντας, καταδιώξας, ἀνεῖλεν πλήθη πολλὰ, καταλαβόντες καὶ τὸ τοῦλδον καὶ τοῦτο λαφυραγωγήσαντες. Ὁ δὲ βασιλεὺς εἰς τὴν πόλιν φεύγων ἐπανήρχετο, τά τε πλήθη καὶ τοὺς τούτων ἄρχοντας ἐπαρώμενος, ἔτι δὲ καὶ τῆς βασιλείας τὴν ἀπόθεσιν ἐξομνύμενος· ἐν οἷς καὶ Λέοντι πατρικίῳ καὶ στρατηγῷ τῶν Ἀνατολικῶν, ὡς εὐσεβεῖ τε καὶ ἀνδρειοτάτῳ (65) καὶ C κατὰ πάντα πεποιημένῳ περὶ τοῦ κρατῆσαι τὴν βασιλείαν ἐκοινωνήσατο. Τοῦ δὲ μηδ' ὅλως εἴξαντος, ἐάσαι αὐτὸν προΐστασθαι τῶν θεμάτων, αὐτὸς τὴν βασιλείαν κατέλαβεν τῇ ια' τοῦ Ἰουνίου μηνὸς, θέλων μὲν ἀποθέσθαι τὸ κράτος καὶ ἄλλον προχειρίσασθαι, μὴ συγχωρούμενος δὲ παρά τε τῆς γαμετῆς καὶ τῶν παραδυναστευόντων. Νικηφόρος δὲ ὁ ἁγιώτατος πατριάρχης ἐν τούτῳ συνήνει, ὡς καὶ αὐτοῦ καὶ τῶν

A pente cum fragore, tanquam divino quopiam edito miraculo, fecerunt apertam : mox intro se ferentes, ad seductoris tumulum prostrati, ipsum, non Deum, invocavere, dicentes : *Exsurge, et reipublicæ jamjam pereunti succurre* : confestimque eum, qui tartarum cum dæmonibus incolit, equo insidentem ad prælium in Barbaros processisse denuntiaverunt. Isti ab urbis præfecto comprehensi, primo quidem sepulcrorum portas, se ipsis ac divina manu reseratas mendaciter asserentes ; ubi ad præfecti tribunal astiterunt, testimoniis labantes, totam vectium impulsorum fabulam nondum cruciatibus ac quæstionibus applicati enarravere. Eos urbis præfectus vectibus ex hac causa alligatos ad ignominiæ pompam, pœnæ causam ac delictum ore B aperte conclamantes publice traducendos edixit. Isto namque pacto sub signis suis militantes omnis malitiæ diabolus auctor instruxit, ut non propria incusarent flagitia, sed orthodoxam et a Patribus acceptam fidem sacrumque monasticam vitam agentium ordinem, qui philosophiæ ad Dei placitum institutæ exercitamentum est, criminentur. Plures quippe blasphemias ejuscemodi deblaterantium solo habitu Christiani, re vera Pauliciani in animo erant, qui abominanda sua sensa proferre non ausi, ejusmodi prætextu imperitorum simplicitati credebant illusuros se, ubi Constantino Judaicæ mentis homine tanquam propheta et victore pronuntiato, ipsi pravam illius hæresim in dispen- C sationis per carnem Domini nostri Jesu Christi perniciem amplecterentur. Mensis porro Julii die vicesimo secundo Christianis simul et Bulgaris ad pugnam in invicem committendam ad Adrianopolim ex æquo instructis, Christiani in prælio pessime se gesserunt, id autem victoriæ cesserant hostibus, ut plures ex ipsis nondum primi conflictus initi spectatores effecti, velocissima tamen fuga pugnæ se subduxerint : adeo ut Crummus ipse spectaculi novitate

VARIÆ LECTIONES.

[97] οἵτινες μή : in his verbis desinit codex A.

JAC. GOARI NOTÆ.

(65) An non Ecclesiæ demum persecutor factus, Christi servos crudeliter afflixit? Ejus impietate nondum patefacta, Theophanem hæc scripsisse credendum. Ipse quam ἀσεβὴς καὶ θηριώδης Λέων, postmodum Theophanes expertus est. Vide pag. 431.

Ex his conjectura scripsisse hæc Theophanem sub ipso rei eventu, cum necdum Leo hæresim prodidisset ; ut ejus deinceps impietatis ac sævitiæ tædio chronographiam hic suam abruperit. Ejus proditione victoriam Bulgaris cessisse habent Cedr. reliquique Leonis Vitæ auctor, atque ea sibi arte imperium vindicasse : quam etiam opinionem refert Theophanis Vaticanus continuator, ut jam a superioribus quibusdam scripto consignatam, recitata tamen statim alia, quæ istis Theophanis valde consonat, non Leo, ejusque Orientales, sed prætoriani aliæque turmæ ita fugam ignavia arripuerint, remque prodiderint. Εἰσὶ δ' οἳ καὶ τὰς δυνάμεις μᾶλλον τῷ Λέοντι διδόασι διασῶσαι, καὶ καρτερικῶς ἀγωνίσασθαι· τῶν βασιλικῶν ἐθελοκακησάντων, καὶ τὴν οἰκείαν D προδεδωκότων παράταξιν· ἀλλ' οὐ τοῦ κατὰ τὸν Λέοντα μέρους· *Sunt qui laudem servati exercitus Leoni tribuant, fortiter dimicasse scribant : cum imperatoriæ cohortes sponte fugissent, ac suam stationem prodidissent ; non sic vero Leonis turmæ.* Sic revera se rem habuisse sequentia indicant. Quomodo enim alias Michael Leonem præsidio relicturus erat universæ ditioni Romanæ adversus Bulgaros, quorum conspectum integro exercitu ne tulisset quidem? Quomodo autem sic Michaelem ignaviæ notare, seque unum reip. labanti restituendæ fore cohortibus persuasisset, qui insignis ipse ignaviæ specimen nuper exhibuisset? Leoni ergo facta sit strues, ut ita infamaretur, odio forsan persecutionis illius quam excitavit in orthodoxos, Auctor Vitæ Nicolai Studitæ, gravis utique scriptor, ac gestis suppar, nihil Leonis illius ignaviæ meminit, sed muneribus sibi devinxisse militum animos, ut ita imperator crearetur, cum et alia accederent, ac strenui ducis partes non raro implevisset.

deterritus, insidiarum in suos structarum, quod oculis probabat, apparatum existimaret, ac ne fugientes insequerentur, suos aliquando detinuerit : ubi vero præcipitis **426** ejusmodi fugæ veritatem animadvertit, hostes a tergo insectatus, castris eorum et opimis spoliis direptis, stragem maximam edidit. Imperator pariter fuga elapsus versus urbem pedem referebat, et militares ordines et eorum ductores maledictis incessens, imperii potestate sese abdicaturum dato jurejurando pollicitus est, ac Leoni patricio et Orientalium duci, ceu viro pietate conspicuo et militari virtute præstanti ac jam reipublicæ administrandæ idoneo, confestim aperuit consilium, sed eo dignitatem ultro delatam admittere recusante, thematum regendorum potestate ipsi relicta, Junii die vicesimo quarto imperantem urbem repetiit : ac imperium quidem deponere, aliumque principem in thronum subrogare meditatus, ab uxore et proceribus summam post eum in administranda republica potestatem adeptis, consilium exsequi non est permissus. Sane Nicephorus sanctissimus patriarcha propositis assentiebatur, cum nimirum, si eo pacto novus imperator designaretur, ipse Michael et liberi ejus incolumes facile forent salvandi.

A τέχνων αὐτοῦ περισωθησομένων, εἰ οὕτω προχειρισθείη τις.

Interea duces militaresque copiæ omnes de imperatoris fuga certiores factæ, ab ejuscemodi homine imperari non amplius ferendum ratæ, consilio inter se inito, Leonem Orientalium ducem bono publico consuleret, et Christianam rempublicam erigeret rogaverunt. Ille ruinam imperio imminentem et Barbarorum, qui vix reprimi possent, violentas excursiones mente perpendens, fideique erga imperatores servandæ suique ipsius a fraudis labe immunem custodiendi studiosus aliquo tempore substitit, et pro viribus dignitati admittendæ moras opposuit. At cum hostem magnis itineribus ad urbem contendere animadvertit, a patriarcha Nicephoro, quem de recta sua in Deum fide certiorem fecit, ut ex ipsius nutu, et ejus prece comite projectum colligat imperium, per litteras expetiit. Tum vero ducibus et universis agminibus stipatus, in tribunalium ante urbem positum conscendens, legitimus Romanorum imperator salutatur, medioque jam die Cpoleos porta, quæ Chryse dicitur, ingressus, in regiam se confert. Michael Leonis designatione audita, cum Procopia et liberis in oratorium, quod ad forum est, confugiens, capillis detonsis, una cum suis monasticum habitum induit. Postera luce, quæ Julii mensis fuit undecima, indictione sexta, feria hebdomadis secunda, in Magnæ ecclesiæ ambone a Nicephoro patriarcha coronatus, urbis muros de die et nocte diligentius custodiri præcepit : ipse vero cunctos excitans, et ad meliorem spem concipiendam animans, Deum immaculatæ Dei **427** genitricis sanctorumque omnium interventu brevi posthac novum et inopinatum aliquod opus editurum, nec propter peccatorum nostrorum multitudinem immensam usquequaque nos pudore suffundendos confisus, muros per se ipsum continuus explorator obibat. Porro Crummus junior Sennacherim victoriis in superbiam elatus, proprio fratre ad obsi-

B Οἱ δὲ στρατηγοὶ καὶ τὰ πλήθη μαθόντες τὸν βασιλέα πεφευγέναι, ἀπογνόντες τὸ βασιλεύεσθαι παρ' αὐτοῦ, λοιπὸν καὶ βουλευσάμενοι καθ' ἑαυτούς, ἐδυσώπουν Λέοντα τὸν στρατηγὸν τῶν Ἀνατολικῶν βοηθῆσαι τῷ κοινῷ, καὶ τῆς Χριστιανῶν πολιτείας ἀνθέξασθαι. Ὁ δὲ μέχρι μέν τινος σφοδρῶς ἀνεβάλλετο, τοῦ καιροῦ στοχαζόμενος τὸ δυσάντητον, καὶ τῆς τῶν βαρβάρων ἐπιδρομῆς τὸ ἀνύποιστον, καὶ τὸ πρὸς τοὺς βασιλεύοντας φυλάττων ὀρθὸν καὶ ἀνεπιβούλευτον[33]. Ἐπεὶ δὲ κατὰ τῆς πόλεως τὸν ἐχθρὸν ἐπειγόμενον ἐθεάσατο, γράφει μὲν Νικηφόρῳ τῷ πατριάρχῃ τὰ περὶ τῆς ἑαυτοῦ ὀρθοδοξίας διαβεβαιούμενος, αἰτῶν μετὰ τῆς εὐχῆς καὶ ἐπινεύσεως αὐτοῦ τοῦ κράτους ἐπιλαβέσθαι. Καὶ καταλαβὼν τὸ πρὸ τῆς πόλεως τριβουνάλιον ἅμα τοῖς στρατηγοῖς καὶ C τοῖς στρατεύμασιν ἐννομώτατος βασιλεὺς Ῥωμαίων ἀναδείκνυται. Καὶ μεσούσης ἡμέρας ἐν Κωνσταντινουπόλει διὰ τῆς Χρυσῆς πόρτης εἰσέρχεται, καταλαβὼν τὰ βασίλεια. Μιχαὴλ δὲ ἀκούσας τὴν τούτου ἀναγόρευσιν ἐν τῷ εὐκτηρίῳ τοῦ φόρου προσδραμὼν σὺν Προκοπίᾳ καὶ τοῖς αὐτῶν τέκνοις, ἀποκειράμενοι τὰς τρίχας μοναχικὰ περιεβάλοντο. Τῇ δὲ ια' τοῦ Ἰουλίου μηνὸς ἕκτῃ ἰνδικτιῶνι, ἡμέρᾳ δευτέρᾳ, τῇ ἐπαύριον στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς Μεγάλης Ἐκκλησίας, τὰ κατὰ τὴν πόλιν προστάττει φρουρηθῆναι τὰ τείχη νυκτὸς καὶ ἡμέρας, αὐτὸς δι' ἑαυτοῦ περιπολεύων, καὶ πάντας διεγείρων, εὐέλπιδάς τε παραινῶν εἶναι, ὡς τοῦ Θεοῦ παραδοξοποιήσαντος, τάχιστα, διὰ πρεσβειῶν τῆς παναχράντου Θεοτόκου καὶ πάντων τῶν D ἁγίων, καὶ μὴ πάντῃ καταισχυνθῆναι παραχωροῦντος διὰ πλῆθος πταισμάτων ἡμῶν. Ὁ δὲ νέος Σενναχερὶμ Κροῦμμος ἀρθεὶς τῇ νίκῃ, καταλιπὼν τὸν ἴδιον ἀδελφὸν μετὰ τῆς οἰκείας δυνάμεως πολιορκεῖν τὴν Ἀδριανούπολιν μετὰ ἓξ ἡμέρας τῆς αὐτοκρατορίας Λέοντος, ἐπελθὼν ἐν δυνάμεσι καὶ ἵπποις τῇ βασιλίδι πόλει, περιῄει πρὸ τῶν τειχῶν ἀπὸ Βλαχερνῶν ἕως τῆς Χρυσῆς πόρτης (66), ἐπιδεικνύμενος

VARIÆ LECTIONES.

[33] ἀνεπίβολον f.

JAC. GOARI NOTÆ.

(66) Ejus nominis porta fuit CP., quod tyrannidem adepturi per eam imperatores solemnem ingressum agerent. Nicephorus in altero Leone iconoclasta ; Καὶ ὡς ἦν ἔθος βασιλεῦσι διὰ πομπ-

τὴν περὶ αὐτὴν δύναμιν, ἐπιτελέσας μιαρὰς καὶ A δαιμονιώδεις θυσίας ἐν τῷ πρὸς θάλασσαν λιβαδίῳ τῆς Χρυσῆς πόρτης, ᾐτήσατο[34] τῷ βασιλεῖ πῆξαι τὸ δόρυ αὐτοῦ κατ' αὐτῆς τῆς Χρυσῆς πόρτης· Τοῦ δὲ τοῦτο μὴ καταδεξαμένου, ὑπέστρεψεν εἰς τὴν ἰδίαν σκηνήν. Θαυμάσας δὲ τὰ τῆς πόλεως τείχη καὶ τὴν εὔτακτον τοῦ βασιλέως παράταξιν,]καὶ τῆς ἐλπιζομένης αὐτοῦ πολιορκίας ἀπογνούς, ἐπὶ συμβάσεις τρέπεται · καὶ πρὶν εἰρήνης πειραστικοὺς λόγους ἐποιεῖτο. Ὁ δὲ βασιλεὺς ἀφορμῆς δραξάμενος ἐπειράθη τοῦτον λογχίσαι[35] · ἀλλ' ὑπὸ τοῦ πλήθους τῶν ἡμετέρων ἁμαρτιῶν τοῦτο εἰς πέρας ἀγαγεῖν ἐκωλύθη τῇ τῶν καθυπουργησάντων τοιούτῳ ἀφυΐᾳ, πληγωσάντων μὲν τοῦτον, καιρίαν δὲ μὴ ἐπαγόντων πληγήν. Ἐπὶ τοῦτο μανεὶς ὁ ἀλάστωρ ἀποστείλας B χοῦρσον ἐν τῷ Ἁγίῳ Μάμαντι, τὸ ἐκεῖσε παλάτιον ἐνέπρησε, καὶ τὸν χαλκοῦν λέοντα τοῦ ἱππικοῦ σὺν τῷ δράκοντι τοῦ Ὑδρίου, καὶ μαρμάροις ἐπιλέκτοις ἐν ἁμάξαις φορτώσας ὑπέστρεψεν, παρακαθίσας Ἀδριανουπόλει, καὶ ταύτην ἑλών.

dendam Adrianopolim cum suis copiis relicto, post dies sex a demandato Leoni imperio, cum maximo peditum equitumque numero ad urbem propius accedens, ostentata exercitus sequentis se virtute, ad muros a Blachernis ad Chrysen usque portam protensos obambulabat, profanisque et vere dæmoniacis sacrificiis ad pratum Chryse portæ adjacens peractis, in ipsam Chrysen portam hastam infigere ab imperatore expetiit: quo petita respuente, in proprium tentorium recessit. Cum autem civitatis muros et instructissimum imperatoris exercitum haud sine admiratione vidisset, obsidionem ponere posse desperans, ad pacis ineunda fœdera convertitur. Num igitur pacem Romani expeterent, inito cum eis colloquio experiri tentavit. Imperator occasione captata lancea perfodere molitus est: verum delictorum nostrorum multitudine prohibitus, et ad hujusmodi tropæum excitandum sociorum ineptitudine delusus, cœptum opus in felicem exitum deducere non valuit. Crummo enim facinoris administri plura vulnera inflixerunt, nullum tamen intulerunt letale, ex quo in rabiem versus homo perditissimus, expeditis militibus ad sanctum Mamantem missis, palatium ibidem erectum igne supposito consumpsit. Tum vero æreo circi leone et Hydrii dracone cum selectioribus marmoribus in currus conjectis, retro pedem tulit, et obsidione ad Adrianopolim posita, eam demum armorum vi subjugavit.

VARIÆ LECTIONES.

[34] ᾐτήσατο — πόρτης om. f. [35] λοχῆσαι e.

JAC. GOARI NOTÆ.

πίου δοχῆς διὰ τῆς Χρυσῆς καλουμένης πύλης εἰς τὸ Βυζάντιον εἰσελαύνει, καὶ τῇ Μεγάλῃ Ἐκκλησίᾳ γενόμενος, ἐκεῖσε τὸν τῆς βασιλείας ἀνεδήσατο στέφανον· *Hic, ut imperatores solent, solemni pompa susceptus, Aurea porta Byzantinus ingreditur, atque in Majore ecclesia coronam accipit.*

ΣΥΓΓΡΑΦΗ ΧΡΟΝΟΓΡΑΦΙΟΥ

ΤΑ ΚΑΤΑ (1) ΛΕΟΝΤΟΣ ΥΙΟΥ ΒΑΡΔΑ ΤΟΥ ΑΡΜΕΝΙΟΥ

ΠΕΡΙΕΧΟΥΣΑ.

CHRONOGRAPHICA NARRATIO

COMPLECTENS

EA QUÆ TEMPORE LEONIS FILII BARDÆ ARMENI CONTIGERUNT.

(2) Μιχαὴλ ὁ βασιλεὺς τῷ πρώτῳ ἔτει τῆς βασι- C λείας αὐτοῦ ἔστεψεν τὸν υἱὸν αὐτοῦ Θεοφύλακτον εἰς τὰς ἑορτάς... προελθούσης καὶ τῆς γυναικὸς αὐτοῦ

428 Michael imperator anno imperii primo coronavit filium suum Theophylactum in festis... procedente magno cum apparatu et gloria Procopia

FRANC. COMBEFISII NOTÆ.

Jac. Goari nonnullas emendationes marginales in textu inter uncos admisimus.

(1) Τὸ, κατὰ, ἀντὶ τοῦ, περὶ cum gignendi casu, nihil insolens.

(2) Ms. Καὶ λοιπὸν Μιχαήλ, qui modus loquendi indicat esse hæc ex pleniori historia, ad supplementum aliquod Chronologiæ Theophanis, extracta. Quæ ipso limine occurrit lacuna facile sarcienda ex Theophane, qui et ipse primo Michaelis anno coronatum ait ejus filium Theophylactum die 25 Decembris : adeoque scriptum sit, εἰς τὰς ἑορτὰς τῶν Χριστοῦ γεννῶν, *in Christi die natali* : nisi auctor affectata brevitate sic locutus est, ut et infra p. 433 de Leone coronasse filium ait, φθασάντων τῶν ἑορτῶν · iterumque eodem modo loquitur, cum de illius ficta crucis ac imaginis adoratione.

A ejus uxore, et stante coram altari, et filii coronationem spectante, ingentique gaudio pecuniarum erogatione cunctos recreante: ipsa quippe publicam imperii rem administrabat: vir enim ejus, ut dicunt, erat animi simplicis et mansueti. Eleemosynas vero dispertiere plurimas, elargientes ecclesiis et monasteriis pecunias, quas Nicephorus cura non modica coacervarat, monachorum spectatissimis, ptochodochiis, hospitiis pauperum et peregrinorum, captivis, viduis, orphanis, et facultate sua privatis, suppeditantes, quæ cuique erant necessaria: omnesque lætitia æque ac beneficiis cumulantes, ipsi ab omnibus gloria et honore reddebantur illustres. Tribus etiam factionesque populi cujuslibet toni poemata adulationis et voluptatis non expertia in honorem eorum certatim decantarunt. B Omnes etiam in quos Nicephorus infenso fuerat animo quosque e palatio ejecerat, et Theodotæ fratres qui erant patricii, et Leonem Scleri cognominatum, quem Peloponnesiaci tractus ducem instituit, et Leonem filium Bardæ Armeni, qui læsæ majestatis reus, plagis impositis a Nicephoro tonsus in monachum, et in exsilium ejectus fuerat, quem ipsi demum revocarunt, et patriciatus honore decoratum orientalis exercitus crearunt ducem; qui tamen, ut exponemus inferius, homo nequam et improbus tyrannidem in eos exercuit.

His ita gestis, victoria de Nicephoro parta Bulgari in superbiam elati bellum renovare consiliabantur, quod subodoratus Michael inito consilio C legiones omnes coegit, novisque militaribus copiis deletarum prius **429** in bello vice conscriptis, clusurarum etiam per Syriam custodibus convocatis, Lycaones, Cilices, Isauros, Cappadoces, Galatas, et alios omnes secum educens, anno imperii sui secundo, indictione sexta, urbe profectus est, effusa simul universa civitate, et Procopia Augusta conjuge sequente, venerunt usque ad aquæductum; velut festum solemne celebrantes, exercitusque principes gratiis et muneribus cumulantes, eos adhortante Procopia imperatorem Michaelem studiose custodire, eumque in bello protegere et pro Christianis decertare; et inde reversa est in urbem. Cæterum inde solventes imperator et omnis populus appropinquarunt usque ad limitem et angustiarum arces. D Bulgari etiam stabant ordinati ex adverso eorum, visaque exercitus multitudine non sunt ausi eos aggredi, sed stabant instructa acie: similiter et copiæ imperatoris stabant ordinatæ per quindecim dies, non ausæ invicem manus conserere. Demum ærumnis confecti, æstatis tempore caloribus immodicis diu noctuque expositi homines pariter et jumenta extremam pene in perniciem redacti, Romani in Bulgaros impressionem facturos, et Bulgari vicissim Romanos in se irrupturos

A Προκοπίας μετὰ δόξης πολλῆς, καὶ παρασταθείσης ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἰδούσης τὸ στέψιμον τοῦ υἱοῦ αὐτῆς, καὶ ποιησάσης χαρὰν μεγάλην, καὶ διανειμάσης χρήματα πολλά· αὕτη γὰρ ἦν διατιθοῦσα πάντα τὰ τῆς βασιλείας· ὁ γὰρ ἀνὴρ πρᾶος ἦν, ὡς εἴρηται. Ἐποίησαν δὲ καὶ ἐλεημοσύνας πολλὰς διασκορπίσαντες τὰ χρήματα, ἅπερ ὁ Νικηφόρος δι' ἐπιμελείας ἐσώρευσεν, εἰς τὰς ἐκκλησίας, εἰς τὰ μοναστήρια, καὶ εἰς τοὺς ἀσκητὰς ἐν ταῖς ἐρήμοις τὰ πρὸς τὴν χρείαν ἀποστέλλοντες, καὶ εἰς τὰ πτωχεῖα, καὶ εἰς τοὺς ξενῶνας, καὶ εἰς τοὺς αἰχμαλώτους, καὶ εἰς τὰς χήρας, καὶ εἰς τοὺς ὀρφανούς, καὶ εἰς τοὺς ἀπὸ οὐσίας πεσόντας, καὶ πάντας χαροποιήσαντες ὑπὸ πάντων ἐδοξάζοντο. Καὶ οἱ δῆμοι ἐμέλισαν ποιήματα καθ' ἕκαστον ἦχον πρὸς εὐφημίαν B αὐτῶν πᾶσαν ἡδονὴν κολακείας παρέχοντα. Καὶ λοιπὸν πάντας ἀνεκαλέσατο εἰς οὕσπερ Νικηφόρος ἐχθρωδῶς διέκειτο, καὶ ἐξέβαλεν τοῦ παλατίου, τῆς Θεοδότης τοὺς ἀδελφοὺς ὄντας πατρικίους, καὶ Λέοντα τὸν ἐπιλεγόμενον τοῦ Σκληροῦ, καὶ ἐποίησεν αὐτὸν στρατηγὸν εἰς Πελοπόννησον, καὶ Λέοντα (2*) υἱὸν Βάρδα τοῦ Ἀρμενίου πταίσαντα, τὸν Νικηφόρον, τὸν δαρέντα καὶ κουρευθέντα ὑπ' αὐτοῦ καὶ ἐξορισθέντα, οὗτοι ἀνεκαλέσαντο, καὶ ἐποίησαν αὐτὸν πατρίκιον καὶ στρατηγὸν τῶν Ἀνατολικῶν, ὃς καὶ ἐτυράννησεν αὐτοὺς πονηρὸς ὤν, ὡς ὕστερον λέξομεν.

Λοιπὸν οὖν τούτων γενομένων, ἐπαρθέντες οἱ Βούλγαροι ἐπὶ τῇ νίκῃ τῇ κατὰ τοῦ Νικηφόρου, ἐβούλοντο C ἀπελθεῖν πρὸς πόλεμον. Ταῦτα γνοὺς Μιχαὴλ, βουλὴν ποιησάμενος, συνήγαγεν πάντα τὰ θέματα, στρατεύσας καὶ ἄλλους πολλοὺς ἀντὶ τῶν ἀπολειφθέντων ἐν τῷ πολέμῳ, καὶ τοὺς φυλάσσοντας τὰς κλεισούρας τῆς Συρίας συναθροίσας, Λυκάονας, καὶ Κίλικας, καὶ Ἰσαύρους, καὶ Καππαδόκας, καὶ Γαλάτας, καὶ πάντας παραλαβὼν ἐξῆλθεν δευτέρῳ ἔτει τῆς αὐτοῦ βασιλείας, ἰνδικτ. ς', καὶ τῆς πόλεως συνακολουθούσης αὐτῷ, καὶ Προκοπίας τῆς Αὐγούστης τῆς αὐτοῦ γυναικὸς, ἐξῆλθεν ἕως τ' ἀκιδούκτου· ποιοῦντες μαιουμάδας (3), καὶ διδόντες χαρίσματα τοὺς ἄρχοντας [τοῖς ἄρχουσι] τοῦ στρατοῦ· παρακαλούσης αὐτοὺς τῆς Προκοπίας, καὶ περὶ Μιχαὴλ τοῦ βασιλέως διαφυλάττειν αὐτὸν, καὶ σκέπειν ἐν τῷ πολέμῳ, καὶ ἀγωνίζεσθαι ὑπὲρ τῶν Χριστιανῶν· D κἀκεῖθεν πάλιν αὐτὴ ὑπέστρεψεν ἐν τῇ πόλει. Καὶ λοιπὸν ἀπάραντες ἐκεῖθεν ὅ τε βασιλεὺς καὶ πᾶς ὁ λαὸς ἐγγυτόμησαν ἕως τῶν κλεισουρῶν. Καὶ δὴ οἱ Βούλγαρεις [Βούλγαροι] παρετάξαντο ἀπέναντι αὐτῶν, καὶ θεωροῦντες τὰ πλῆθος τοῦ λαοῦ οὐκ ἐτόλμησαν ἐπιχειρῆσαι, ἀλλ' ἵσταντο παρατεταγμένοι. Ὁμοίως δὲ καὶ ὁ λαὸς τοῦ βασιλέως ἵσταντο, καὶ αὐτοὶ παρατεταγμένοι ἕως ἡμερῶν ιε', μὴ τολμῶντες ἀλλήλοις βαλεῖν χεῖρα. Καὶ λοιπὸν ἐταλαιπωρήθησαν ἐν τῷ καύσωνι στήκοντες τοῦ θέρους ἡμέρας καὶ νυκτὸς, οἵ τε ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἦλθον εἰς ἀδυναμίαν

FRANC. COMBEFISII NOTÆ.

(2*) In marg., Οὗτός ἐστιν ὁ Χαμαιλέων, Hic est Chamæleon.

(3) *Maii Kalendas tripudio celebrantes*, de qua profana celebritate Meursius, Lacerda, etc.

λατίου ἐπὶ χεῖρας, καὶ τῇ ἕωθεν Γρηγόριον λεγόμενον τὸν Φιλήμονος ἐποίησε παπίαν. Πορευθεὶς δὲ ἀποστέλλει ἐν τῷ Ἁγίῳ Μάμαντι, καὶ εἰσήγαγεν Εὐδοκίαν τὴν τοῦ Ἴγγερος μετὰ δόξης πολλῆς ἐν τῷ παλατίῳ. Ἀπέστειλε δὲ καὶ Ἰωάννην πραιπόσιτον τοῦ ἆραι τὴν Δεκαπολίτισσαν, καὶ πρὸς τοὺς ἰδίους γονεῖς ἀγαγεῖν. Ἀπέστειλε δὲ καὶ Παῦλον κοιτωνίτην τοῦ ἐνταφιάσαι Μιχαήλ. Καὶ ἀπελθὼν εὗρεν αὐτὸν ἐντετυλιγμένον ἐν τῷ σαγίσματι τοῦ δεξιοῦ ἵππου, οὗ ἤλαυνεν, καὶ τὰ ἔγκατα αὐτοῦ ἔξωθεν κρεμάμενα. Ἄρας δὲ ἐκεῖ θρηνούσας καὶ ἐλεεινολογουμένας ἐπ' αὐτῷ καὶ τὴν μητέρα καὶ τὰς ἀδελφὰς αὐτοῦ, καὶ εἰσαγαγὼν εἰς πλοιάριον, διεπέρασεν ἐν τῇ μονῇ τῆς Χρυσοπόλεως, κἀκεῖ αὐτὸν ἐνταφιάσας ἔθαψεν.

A Joanne præposito Decapolitissam ad proprios parentes retulit; Paulo quoque cubiculario, ut Michaelem sepeliret, mandavit. Illuc ipse profectus dextri equi quo vehebatur stragulo involutum comperit, et viscera foris pendentia: feminisque lamentatricibus et luctus pompam super eo celebraturis, matreque, et sororibus **470** advocatis, in naviculam impositum ad Chrysopolis monasterium trajici præcepit, ibidemque tumulo conditum sepeliri.

ΒΑΣΙΛΕΙΟΣ.

Βασίλειος ἐβασίλευσεν μετὰ Μιχαὴλ ἔτος ἕν, μῆνας δʹ, καὶ μόνος ἔτη ιθʹ. Προσέταξε δὲ τῷ ἐπάρχῳ καὶ Μαριανῷ υἱῷ Πετρωνᾶ συνελθεῖν ἐν τῷ φόρῳ, καὶ ἀναγορεῦσαι μετὰ παντὸς τοῦ λαοῦ μόνον βασιλέα. Ἀναγκαῖον δὲ ἡγησάμην γράψαι καὶ τὴν παρὰ τοῦ Θεοῦ γενομένην ἐκδίκησιν εἰς τοὺς τὸν Μιχαὴλ διαχειρισαμένους, καὶ ἃ πέπονθεν ἕκαστος αὐτῶν διαφόροις καιροῖς. Ὁ μὲν Ἰακωβίτζης κυνηγῶν μετὰ τοῦ βασιλέως ἐν τῷ Φιλοπατίῳ, τοῦ ξίφους αὐτῷ ἐκπεσόντος κατελθὼν τοῦ ἵππου ἆραι αὐτὸ, τοῦ ποδὸς αὐτοῦ μὴ φθάσαντος τῇ γῇ ἐπιβῆναι, ἀλλὰ τοῦ ἑτέρου κρατηθέντος ἐν τῇ σκάλᾳ, θροηθεὶς ὁ ἵππος διέσυρεν αὐτὸν καὶ εἰς φάραγγαν καὶ βοθύνους διελθὼν, τοῦτον μεληδὸν κατέκοψεν. Ἰωάννης δὲ ὁ Χάλδος στρατηλάτης γεγονὼς ἐν Χαλδίᾳ, καὶ φωραθεὶς κατὰ τοῦ βασιλέως μελετῶν, προστάξει τοῦ βασιλέως ἀνεσκολοπίσθη παρὰ Ἀνδρέου στρατηλάτου. Ὁ δὲ ἐξάδελφος τοῦ βασιλέως Ἀσυλέων ἐξωθεὶς παρὰ τοῦ βασιλέως ἐν τῷ προαστείῳ αὐτοῦ ᾧ ἐπώνυμον τοῦ Χαρτοφύλαν, ὡς ἀπηνὴς καὶ ὠμὸς πρὸς τοὺς αὐτοῦ δούλους ὢν, μαχαίραις παρ' αὐτῶν ἐν νυκτὶ ἀνῃρέθη. Οὓς ὁ βασιλεὺς κρατήσας, καὶ μεληδὸν κατακόψας κατέκαυσεν ἐν τοῖς Ἀμαστριανοῦ. Ὁ δὲ Ἀπελάτης [*alibi* Ἀπελάκης] ὁ Πέρσης (45) σκωληκόβρωτος γενόμενος τοῦ ζῆν ἀπηλλάγη. Κωνσταντῖνος δὲ ὁ Τοξαρᾶς εἰς Κιβυῤῥαιώτας σπαθοκοπηθεὶς τελευτᾷ. Καὶ Μαριανὸς ὁ ἀδελφὸς τοῦ βασιλέως τῶν ποδῶν συντριβεὶς, ἐκ τοῦ ἵππου πεσὼν, καὶ τοῦ ποδὸς σαπέντος σκώληξι τελευτᾷ. Ὁ δὲ βασιλεὺς προελθὼν ἐν τῇ ἡμέρᾳ τῶν Χριστοῦ γέννων ἐν τῇ προελεύσει εἰς τὴν Μεγάλην Ἐκκλησίαν ἐβάπτισεν Στέφανον υἱὸν αὐτοῦ. Ἀγαγὼν δὲ ἵππους λευκοὺς μετὰ ἅρματος ἐκάθισεν ἅμα τῇ Αὐγούστῃ, καὶ ὁ πραιπόσιτος σὺν αὐτοῖς Βαάνης βαστάζων ἦν τὸ παιδίον μέχρι τοῦ παλατίου, τοῦ βασιλέως ῥίπτοντος ὑπατείαν ἐν τῇ ὁδῷ. Ἐγένετο δὲ σεισμὸς τοῦ ἁγίου Πολυεύκτου μέγιστος, ὥστε τὴν γῆν σείεσθαι ἐπὶ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας· ἔπεσε δὲ τότε καὶ ἡ σφαῖρα τοῦ ζῳδίου τοῦ φόρου καὶ τῆς ὑπεραγίας Θεοτόκου τὸ σίγμα, ὥστε πάντας τοὺς ψάλλοντας ἐκεῖσε τελευτῆσαι. Λέων δὲ ὁ Φιλόσοφος τυχὼν ἐκεῖσε

BASILIUS.

Basilius una cum Michaele annum unum et menses quatuor imperavit, et undeviginti solus; præfecto vero, et Mariano Petronæ filio, ad forum B convenire, et imperatorem solum coram omni populo renuntiare jussit. Exercitam porro in Michaelis parricidas a Deo vindictam, et quæ singuli temporibus diversis passi fuerint, referre operæ pretium duxi. Jacobitzes quidem inter venandum una cum imperatore ad Philopatium gladium in terram lapsum levaturus ex equo desiliit: cumque pes ejus terram nondum attigisset, altero in pensili scandula retento, perterritus equus, arrepto cursu per valles et præcipitia traxit, et membratim discerpsit. Joannes Chaldius pariter exercitus dux in Chaldia constitutus, quasi contra imperatorem machinaretur delatus, imperatoris jussu ab Andrea militiæ magistro palo affixus est. Imperatoris patruelis Assyleo ab ipso in proprium suburbanum C nomine Chartophilam relegatus, ut crudelis et inhumanus in domesticos, nocte ab ipsis gladiis confossus interiit: eos apprehensos et membratim concisos ad Amastriani imperator combussit. Apelates Persa a vermibus corrosus vitam amisit. Constantinus Toxaras apud Cibyrræotas gladiis comminutus periit. Marianus imperatoris frater equo lapsus et pedes contritus, altero pede vermibus putrescente, moritur. Porro imperator Natalitiorum Christi die celebri processus apparatu ad Magnam ecclesiam profectus, Stephanum filium suum baptizavit, et equis candidis ad currum junctis, cum Augusta in eo sedit. Baanes autem præpositus una cum eis ad palatium usque puerum gerebat, imperatore D per viam nummorum munus spargente. Ingens autem sancti Polyeucti festo terræmotus exortus est: adeo ut diebus quadraginta et noctibus totidem terra concuteretur. Decidit tunc equi ad forum positi sphæra, et sanctissimæ Dei Genitricis fornix; adeo ut cuncti ad psallendum coacti opprimerentur. Leo vero Philosophus ibidem forte repertus cantoribus et reliquis sub eo stantibus ut ecclesia discederent monebat. Illi vero minime ac-

FRANC. COMBEFISII NOTÆ.

(45) Ipse qui superori p. Εὐλόγιος dicitus est, ac paulo superius absolute ὁ Πέρσης· nec video ut vox Ἀπελάτης sana sit, aut quid ad rem τὸ, Ἀπελάκης· melius Ἀπλάκης, cujus est alibi mentio, non ut sit ipse hic Persa qui Michaelem occidit. Quid si, ἀπελαθεὶς δὲ ὁ Πέρσης, *ejectus Persa?* etc.

quiescentes, uno simul fine perierunt. Ipse Philosophus **471** ad columnam sub aliis structuris stans cum duobus aliis servatus est, necnon alii quinque sub ambone forte sedentes. Cæterum imperatorem ad ecclesiam accedentem et jamjam sacrorum participem futurum, prædonem et homicidam, sacræque communionis indignum Photius patriarcha vocabat. Ille furore percitus Romam misit, et Romanis episcopis deferentibus, scriptam in eum sententiam obtinuit, eumdemque throno deturbavit, et Ignatium sanctissimum patriarcham secundo instituit.

Ex Eudocia vero Ingeris filia Alexander imperator natus est. Hic puer Basilii fuit legitimus. Imperator vero adversus Agarenos Africam habitantes armavit, et commissa pugna superatus est, renovatisque præliis Romanos plures Agarenorum armis amisit. In illa autem imperatoris fuga Theophylactus Abestactus, Romani, qui deinde imperavit, pater, imperatorem ab Agarenis ferme captum liberavit. Quem conquisitum imperator postmodum agnovit: plures enim imperatori dicebant: Ego sum qui liberavi. Ille vero, honore contempto, fundum imperatorium expetiit, quem et impetravit. Reversus in urbem imperator Christophorum generum in Tephricem misit, et maxima victoria potitus, locum vastavit, et ad solum usque dejecit. Ignatius autem patriarcha ecclesiam insignem ad Satoris Emporium sub Orientis Archistrategi nomine constructam virorum effecit monasterium, ubi corpus ejus depositum est. Thecla vero Michaelis sorore ad imperatorem hominem quemdam animo simplicem cum supplici libello mittente, interrogavit eum imperator: Quis dominam tuam habet? Respondit ille: Neatocomites. Quem cum subito adduci jussisset imperator, verberibus affectum totondit, et monastico habitu induit. Procopio pariter protovestiario ad Theclam misso, plagis impositis divitias omnes, quæ deinde fisco additæ sunt, sustulit: Neatocomitem vero œconomum in Magna ecclesia postmodum instituit. Idem imperator Hebræos omnes, qui tunc temporis sub ejus potestate reperiebantur, baptismum subire coegit, suscipientibus eos viris in dignitate constitutis, ipsoque imperatore plurimam in eos liberalitatem exercente. Nicolaum autem, de quo superius sermo habitus, cui Androsalites nomen, sancti Diomedis mansionarium, cui martyr, ut dictum est, apparuit, œconomi et syncelli dignitate

A ἔλεγεν τοῖς ψάλλουσιν καὶ πᾶσιν τοῖς οὖσιν ἐκεῖσε ἐξελθεῖν τῆς ἐκκλησίας· οἱ δὲ μὴ πεισθέντες αὐτῷ συνετελέσθησαν ἅπαντες. Αὐτὸς δὲ ὁ Φιλόσοφος εἰς κίονα ὑπὸ συστημάτων σταθεὶς μετὰ ἑτέρους [ἑτέρων] δύο διεσώθη, καὶ ἕτεροι πέντε μόνοι ὑποκάτω τοῦ ἄμβωνος. Φώτιος δὲ ὁ πατριάρχης ἐλθόντος τοῦ βασιλέως ἐν τῇ ἐκκλησίᾳ, καὶ μέλλοντος αὐτὸν κοινωνεῖν, τοῦτον λῃστὴν καὶ φονέα ἔλεγεν, καὶ ἀνάξιον τῆς θείας κοινωνίας. Ὁ δὲ θυμωθεὶς (46) ἀπέστειλεν ἐν Ῥώμῃ, καὶ ἤγαγεν τόμον μετὰ Ῥωμαίων ἐπισκόπων, καὶ τοῦτον τοῦ θρόνου αὐτοῦ ἐξέωσεν, καὶ προεχειρίσατο Ἰγνάτιον τὸν ἐν ἁγίοις πατριάρχην τὸ δεύτερον αὐτῷ.

Ἐγεννήθη δὲ αὐτῷ Ἀλέξανδρος ὁ βασιλεὺς ἐκ τῆς τοῦ Ἴγγερος Εὐδοκίας. Οὗτος παῖς γενόμενος καὶ B γνήσιος Βασιλείου (47). Ἐστράτευσεν δὲ ὁ βασιλεὺς κατὰ Ἀγαρηνῶν τῶν εἰς Τιβρικοῖς (48). Καὶ πόλεμον συνάψας ἡττήθη, καὶ πολλάκις συμβαλὼν Ἀγαρηνοῖς πολλοὺς τῶν Ῥωμαίων ἀπεβάλετο. Ἐν δὲ τῇ τοιαύτῃ φυγῇ τοῦ βασιλέως Θεοφύλακτος ὁ Ἀβήστακτος ὁ πατὴρ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος διέσωσεν τὸν βασιλέα παρὰ μικρὸν ὑπὸ τῶν Ἀγαρηνῶν κρατούμενον· ὃν ἐπιζητήσας ὁ βασιλεὺς μετὰ ταῦτα καὶ γνωρίσας (πολλοὶ γὰρ ἔλεγον τῷ βασιλεῖ, ὅτι Ἐγώ εἰμι), ὁ δὲ τὴν τιμὴν ἀφεὶς τόπον βασιλικὸν ᾐτήσατο, οὗ καὶ τέτυχεν. Ὑποστρέψας δὲ ὁ βασιλεὺς ἐν τῇ πόλει ἀπέστειλεν Χριστοφόρον γαμβρὸν αὐτοῦ ἐν τῇ Τεφρικῇ, καὶ νίκην μεγίστην ποιήσας ἐκπορθεῖ ταύτην καταστρέψας ἕως ἐδάφους. C Ἰγνάτιος δὲ ὁ πατριάρχης οἰκοδομήσας ἐκκλησίαν εἰς τὸ ἐμπόριον Σάτωρος περικαλλῆ ἐπ' ὀνόματι Ἀρχιστρατήγου τοῦ ἀνατέλλοντος, καὶ μονὴν πεποίηκεν ἀνδρεῖον, ἔνθα καὶ τὸ σῶμα αὐτοῦ ἀπόκειται. Θέκλας δὲ τῆς ἀδελφῆς ἀποστειλάσης πρὸς τὸν βασιλέα δι' ὑπόμνησίν τινα, μέτριον ὄντα αὐτῆς ἄνθρωπον, ἠρώτησεν αὐτὸν ὁ βασιλεὺς, ὅτι Τίς ἔχει τὴν κυρίαν σου; Ὁ δὲ εἶπεν, ὅτι Ὁ Νεατοκομίτης [*supra* Νεατοκόμητος]. Παρευθὺ δὲ ὁ βασιλεὺς ἤγαγεν αὐτὸν, καὶ τύψας ἀπέκειρεν, καὶ τὸ μοναχικὸν σχῆμα ἐνέδυσεν αὐτόν. Ὡσαύτως δὲ καὶ Προκόπιον τὸν πρωτοβεστιάριον αὐτοῦ ἀποστείλας, ἔτυψε τὴν Θέκλαν, καὶ ἄρας πάντα τὰ χρήματα αὐτῆς εἰσεκόμισε τῷ βασιλεῖ· τὸν δὲ Νεοτοκόμητα μετὰ ταῦτα ἐποίησεν οἰκονόμον ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ. Ὁ δὲ D αὐτὸς βασιλεὺς ἐβάπτισεν τοὺς Ἑβραίους (49) πάντας, ὅσοι τῷ τότε χρόνῳ ὑπὸ τὴν χεῖρα αὐτοῦ ὑπῆρχον, ἀναδεξαμένων αὐτοὺς πάντων τῶν ἐν ἀξίαις φιλοφρονησάμενος καὶ δῶρα παρασχόντος αὐτοὺς [αὐτοῖς]. Τὸν δὲ προειρημένον Νικόλαον τὸν Ἀνδροσαλίτης τὸν καὶ προσμονάριον τοῦ ἁγίου Διομήδους,

FRANC. COMBEFISII NOTÆ.

(46) Causam abrogati Photio episcopatus mitius refert Constantinus, nempe, καὶ τὸν γνήσιον νυμφίον τῇ Ἐκκλησίᾳ, καὶ τοῖς τέκνοις τὸν πατέρα κανονικῶς παρασχών, *ut et verum sponsum Ecclesiæ, et filiis patrem ex canonum ratione redderet*, cessare jusso incubatore Photio, donec alterum Dominus ad se transferret. Τὸ δεύτερον αὐτοῦ, sic emenda, τὸ δεύτερον, *Ignatium Patriarcham iterum constituit.*

(47) Reliqui, scilicet Constantinus et Leo, Michaele nati erant, Ingerina Eudocia ei pellice.

(48) Scrib. ex Constant. εἰς Τεφρικήν, qui hanc claro expeditionem narrat. Spectare Tephricem ad Armeniam ex eo colliges.

(49) Minus rem cessisse advertit Constantinus, plerisque eo defuncto ad vomitum reversis. Durius in eos egit Heraclius, qui pœnis ad baptisma adegit; Basilius beneficentia magis invitavit.

ᾧτινι ὁ μάρτυς ἐπεφάνη, ὡς προείρηται, ἐτίμησεν αὐτὸν οἰκονόμον καὶ σύγκελλον· τὸν δὲ ἕτερον αὐτοῦ Ἰωάννην ἀδελφὸν, δρουγγάριον τῆς βίγλας· τὸν δὲ ἕτερον ἀδελφὸν αὐτῶν Παῦλον, τοῦ Σακελλίου· τὸν δὲ τέταρτον, γενικὸν λογοθέτην. Τελευτήσαντος δὲ Νικολάου τοῦ συγκέλλου θάπτουσιν αὐτὸν εἰς Ἀρκαδιανοὺς εἰς τὸν ἑαυτοῦ οἶκον, ἔνθα ἐστὶ τὸ μετόχιον (50) τοῦ Ἁγίου Κωνσταντίνου.

Ἐμηνύθη δὲ τῷ βασιλεῖ ὡς ἡ Συῤῥάκουσα παρὰ τῶν Ἀγαρηνῶν ἐκπορθεῖται. Ἀσχολουμένων δὲ τῶν πλοΐμων ἐν τοῖς κτίσμασιν καὶ ἐκχώσμασι τῆς Νέας Ἐκκλησίας, παρεδόθη ἡ αὐτὴ Συῤῥάκουσα πρὶν φθάσαι τὸν στόλον τοῦ βασιλέως πολλὰ ἐν τούτῳ θρηνήσαντος. Νικήτα δὲ τοῦ ἐπὶ τῆς τραπέζης τοῦ Ξυλινίτου κατηγορηθέντος, ὡς φιλουμένου παρὰ τῆς Αὐγούστης, τοῦτον ὁ βασιλεὺς ἀποκείρας, μοναχὸν ἐποίησεν· ὃς ἐπὶ Λέοντος βασιλέως γέγονεν οἰκονόμος ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, καὶ τελευτήσας τίθεται ἐν τῇ μονῇ, ἣν αὐτὸς κατεσκεύασεν· καὶ ἀπέκειρεν τὰς αὐτοῦ ἀδελφάς. Πολλὰ δὲ μάρμαρα καὶ ψηφίδας ἐκ πολλῶν ἐκκλησιῶν ἀνέλαβεν ὁ βασιλεὺς λόγῳ τῆς Νέας Ἐκκλησίας, ἐν οἷς στήλη ἵστατο χαλκῆ ἐν τῷ σεννάτῳ σχῆμα ἐπισκόπου φέρουσα· ἐκράτει δὲ ἡ αὐτὴ στήλη ἐν τῇ χειρὶ ῥάβδον ἔχουσα ὄφιν ἐντετυλιγμένον· ταύτην καταγαγόντες ἔθηκαν ἐν τῷ βεστιαρίῳ. Κατελθόντος δὲ τοῦ βασιλέως καὶ ἀπελθόντος ἔνθα ἵστατο στήλη ὀρθὴ, ἐνέβαλε τὸν δάκτυλον αὐτοῦ ἐπὶ τὸ στόμα τοῦ ὄφεως· ὢν δὲ ἐκεῖ ζῶν ὄφις ἔδακε τοῦ βασιλέως τὸν δάκτυλον, ὃς μόλις δι' ἀντιφαρμάκων ἰάθη, θαυμασάντων πάντων ἐπὶ τούτῳ. Ἀλλὰ καὶ τὴν στήλην Σολομῶντος ἐν τῇ Βασιλικῇ οὔσῃ μεγίστῃ [οὖσαν μεγίστην] κατεάξας προσέταξεν ἐπ' ὀνόματι αὐτοῦ ἐκτυπωθῆναι καὶ τεθῆναι κάτωθεν ἐν τοῖς θεμελίοις τῆς αὐτῆς νέας· ὥστε θυσίαν ἑαυτὸν τῷ τοιούτῳ κτίσματι καὶ Θεῷ προσάγων (51). Ἐπεστράτευσε δὲ πάλιν ὁ βασιλεὺς κατὰ Μελιτινῆς, καὶ αἰχμαλωσίαν πολλὴν ποιησάμενος, καὶ πολλοὺς πολέμους, ὑπέστρεψεν. Τελευτᾷ δὲ ὁ ἐν ἁγίοις Ἰγνάτιος ὁ πατριάρχης, καὶ ἀντ' αὐτοῦ πάλιν ἀναβιβάζει Φώτιον πατριάρχην. Μετὰ δὲ ταῦτα ἐν ἐξορίᾳ τελευτήσαντος Φωτίου πατριάρχου ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ μονῇ τῇ λεγομένῃ τῆς Ἐρημίας ἐν τῷ Μερδοσαγάρῃ, οὔσης πρότερον καθολικῆς ἐκκλησίας. Αὐτὸς δὲ Φώτιος ἐποίησεν αὐτὴν μονὴν γυναικείαν. Πάλιν δὲ ἐκστρατεύει ὁ βασιλεὺς κατὰ Συρίας εἰς Γερμανίκειαν, καὶ ταύτην ἐκπορθήσας καὶ αἰχμαλωτίσας, ὑπέστρεψεν. Τελευτᾷ δὲ Κωνσταντῖνος υἱὸς Μιχαὴλ (52) βασιλέως ἐξ Εὐδοκίας, ὃν πολλὰ ἐθρήνησε Βασίλειος. Μαΐῳ δὲ πρώτῃ ἐνθρονίζεται καὶ ἐγκαινίζεται ἡ ἐκκλησία, ἣν ἔκτισεν ὁ βασιλεὺς, καὶ ἐκαλλώπισε κόσμῳ πολλῷ παρὰ Φωτίου πατριάρχου, τοῦ

A decoravit. Joannem vero alterum ejus fratrem Biglæ drungarium, fratremque tertium Paulum sacelli præpositum, quartum denique generalem
472 logothetam creavit. Nicolao syncello postmodum mortuo, corpus ejus ad Arcadianos sepelierunt in propria domo, qua prædium est sancti Constantini.

Porro Syracusas ab Agarenis vastari imperatori nuntiatum est. Navalibus vero copiis circa novæ ecclesiæ structuram et aggerum effossionem occupatis, priusquam deinde imperatoria classis adventaret, Syracusana civitas deditionem fecit, de qua imperator plurimum indoluit. Nicetas autem Xylinitæ filius, mensæ præpositus, cum secreti ad
B Augustam amoris delatus fuisset, hunc imperator detonsum monachum effecit: qui sub Leone imperatore œconomus in Magna ecclesia creatus est, et vita functus in monasterio ab eo constructo depositus est. Ejus quoque sorores capillis tonsas moniales reddidit. Cæterum marmora plurima et ex opere tesselato figuras varias ex ecclesiis plurimis novæ alterius exstruendæ gratia sustulit imperator. Inter hæc ornamenta fuit etiam statua ærea ad senatum episcopi formam referens, quæ virgam serpente circumvolutam manu gerebat, eamque loco depositam in vestiario locaverunt. Profectus illuc imperator, et ad locum quo statua fuerat erecta descendens, in serpentis os digitum immisit. Serpens autem ibidem vivus repertus
C digitum imperatoris momordit, adeo ut, quod mirum omnibus deinde visum est, adhibitis remediis vix sanari potuerit. Statua quoque Salomonis ad basilicam stante confracta, ex ejus metallo propriam efformari, et in excavatis novæ ejusdem ecclesiæ fundamentis locari jussit: quasi Deo se in hujusmodi opere victimam offerret. Rursum autem adversus Melitinem arma movit imperator, ex qua plurimis in captivitatem ductis, et certaminibus plerisque confectis, reversus est. Porro sanctus patriarcha Ignatius vita functus est: et in ejus locum Photius iterum suffectus. Photio patriarcha postmodum in exsilio mortem obeunte, corpus ejus in monasterio ad Merdosagarem, nomine Heremia, quæ prius communis et publica
D exstiterat ecclesia, depositum est: Photius autem muliebre reddiderat monasterium. Rursus imperator Syriam versus in Germaniciam expeditionem suscipit, eaque vastata, et captivis abductis domum regreditur. Constantinus Michaelis imperatoris ex Eudoxia filius moritur: ob cujus mortem Basilius luctum egit plurimum. Maii vero men-

FRANC. COMBEFISII NOTÆ.

(50) *Septum, ambitus, porticus;* nam et μετοχὴ etiam ὁ περίβολος redditur.

(51) *Velut illi se ædificio ac Deo devovens;* quod scilicet ædificium ad Dei honorem susceptum tanti faceret, ut in sua statua ejus substerni fundamentis ambierit.

(52) Sic ingenue Leo, cum alii Basilii filium dicant. Cedrenus: Κωνσταντῖνος ὁ πρεσβύτερος τῶν τοῦ Βασιλέως υἱῶν ἐξέλιπε νόσῳ πυρετικῇ· *Constantinus Basilii filiorum natu maximus febri consumptus moritur.* Basilii filius hominum existimatione, utpote Eudocia ejus conjuge susceptus; idem tamen reipsa Michaelis, qui ea concubina utebatur.

sis die primo throno decoratur, et a Photio patriarcha dedicatur ecclesia quam struxerat, et ornatu vario imperator reddiderat insignem. Ea in celebritate lorum gestavit **473** ille, pecuniarum ingentem vim distribuit, et Novam appellavit.

Cæterum Procopius protovestiarius cum thematibus occidentalibus ab imperatore missus est, Eupraxia Mozilicis filio per Siciliam magistro militiæ instituto, Rabducho Dyrrhachii, Œniate et Apostupe Peloponesi magistris pariter. Procopius iste post egregia facinora plurima et duce præclaro dignas actiones, bello tandem conserto, cunctis ab Apostupe proditis occisus est. Leo Salibaras Theodorum abbatem Euchaitarum archiepiscopum ceu virum pietate insignem miraculisque clarum, et futurorum notitia celebrem, ad Photium patriarcham adducit. Hunc Photius ad imperatorem Basilium defert, et ad ejus conspectum sistit. Quo delectatus imperator (ejus quippe desideriis sese episcopus componebat) virum in pretio habuit. Mœrore etenim perpetuo, ob filii Constantini mortem cui summopere afficiebatur, vexabatur imperatoris animus, et continuo amoris philtro tabescebat : eum idcirco deludebat episcopus, et vivum se ostensurum pollicebatur : quod et præstitit. Ad saltum quippe obambulanti imperatori, spectrum quoddam Constantini specie equo insidens, et auro vestibus intertextis vestitum occurrit : quod ubi perspexit oculis, in amplexus irruens deosculatus est, ac ubi disparuit, vidisse se eum arbitrabatur nec fuisse delusum. Eam ob rem monasterium ibidem constructum sancti Constantini nomine insignivit. His et generis hujusmodi plurimis ex Apollonii disciplina probe perspectis, præfatus Santabarenus multam sibi fiduciam apud imperatorem comparavit. Leoni porro imperii consorti Martinacii filiam locaverat imperator, quam celebratis ad Magnauram et in novemdecim accubitis nuptiis coronaverat Augustam. Exinde imperator Leo ad patrem a Santabareno reus defertur : Gladium defert, et eo te confodere meditatur. Gladiolum illum dolosis suasionibus sibi comparare Leonem fecerat, et in tibiali gestare, dicens ei : Patre tuo gladium sæpe sæpius ex necessitate aliqua requirente, cur tu paratum non exhibes? Imperator itaque Leo gestare disposuit : et eam ob rem a Santabareno calumniam passus est : illumque tibiali tenere deprehensus, defensione quavis instituta, nullatenus audiebatur. Ea propter Nicetas protovestiarius, qui Romano imperatore Papiæ munus consecutus est, verberibus plurimis cæsus est, aliique cum eo plures, gravissima perpessi exsilio relegati sunt. Imperator autem

βασιλέως ἐν τῷ αὐτῆς καινισμῷ λῶρον φορέσαντος (53), καὶ χρήματα πολλὰ δόντος καὶ Νέαν αὐτὴν ἐπονομάσαντος.

Ἀπεστάλη δὲ παρὰ τοῦ βασιλέως Προκόπιος πρωτοβεστιάριος μετὰ τῶν Δυτικῶν θεμάτων, ὄντος Εὐπραξίου τοῦ στρατηλάτου εἰς Σικελίαν τοῦ Μωσιλίκη, εἰς δὲ τὸ Δυῤῥάχιον τοῦ Ῥαβδούχου, καὶ ἐν τῇ Πελοποννήσῳ τοῦ Οἰνιάτου, καὶ τοῦ Ἀποστούπη· ὅστις Προκόπιος πολλὰς πράξεις κατεργασάμενος καὶ ἀνδραγαθίας, ἐσχάτως πολέμου γεγονότος, καὶ προδοθέντων πάντων ὑπὸ τοῦ Ἀποστούπη, ἐσφάγη. Λέων δὲ ὁ Σαλιβαρᾶς συνοψίζει Φωτίῳ πατριάρχῃ Θεόδωρον ἀββᾶν ἀρχιεπίσκοπον Εὐχαΐτων εὐλαβῆ, καὶ ποιοῦντα τεράτεια, καὶ προορατικόν. Φώτιος δὲ τοῦτον Βασιλείῳ βασιλεῖ μεσιτεύει, καὶ συνοψίζει· εἰς ὃν ὁ βασιλεὺς ἀρεσθεὶς (πρὸς γὰρ τὰς ἐπιθυμίας αὐτοῦ διέκειτο), εἶχεν ἐν τιμῇ πολλῇ· ὃς ἀθυμοῦντα τὸν βασιλέα περὶ τοῦ τελευτήσαντος υἱοῦ αὐτοῦ Κωνσταντίνου διὰ τὸ φίλτρον ὅπερ εἰς αὐτὸν εἶχεν ἐπλάνα, καὶ ἐπηγγέλλετο δεῖξαι ζῶντα· ὃ καὶ ἐποίησεν· ἐν γὰρ λόχμῃ τινὶ διερχομένῳ τῷ βασιλεῖ φάντασμα συνήντησεν ἔφιππον, χρυσοΰφαντον ἐνδεδυμένον, ἐν εἴδει τοῦ Κωνσταντίνου· ὃ καὶ ὀφθαλμοῖς εἶδεν, καὶ περιπλακεὶς κατεφίλησεν, καὶ γεγονότος ἀφανοῦς αὐτὸν ἰδεῖν ὑπελάμβανεν, καὶ ὡς οὐ πεπλάνηται· διὸ καὶ μονὴν ἐκεῖσε κτίσας ἐπωνόμασεν αὐτὴν τοῦ Ἁγίου Κωνσταντίνου. Τούτοις καὶ ἑτέροις πλείστοις ὡς ἐκ τῶν Ἀπολλωνίου ἀκριβῶς μεμυημένων (54) ὁ λεγόμενος Σανταβαρηνὸς ἐποίησεν τὸν βασιλέα πίστιν πολλὴν κεκτῆσθαι πρὸς αὐτόν. Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Λέοντι τῷ βασιλεῖ θυγατέρα Μαρτιναγίου [Μαρτινακίου], ἣν καὶ ἔστεψεν ποιήσας τοὺς γάμους ἐν τῇ Μαγναύρᾳ καὶ ἐν τοῖς Δεκαεννέα ἀκουβίτοις. Κατηγορήθη δὲ Λέων ὁ βασιλεὺς παρὰ Σανταβαρηνοῦ εἰς τὸν πατέρα αὐτοῦ, ὡς ὅτι Μαχαίριον ἐπιφέρεται βουλόμενος ἀνελεῖν σε μετ' αὐτοῦ· ὅπερ αὐτὸ μαχαίριον διὰ δολίας συμβουλῆς ἐποίησε Λέοντα κατασκευάσαι καὶ φέρειν ἐν τῷ τουβίῳ (55) εἰπὼν αὐτῷ, ὅτι Πολλάκις τοῦ πατρός σου ἐπιζητοῦντος μαχαίριον διὰ χρείαν τινά, ἵνα τί μὴ ἐπιδῷς αὐτό; Καὶ τοῦτο κατασκευάσας Λέων ὁ βασιλεὺς διαβληθεὶς παρὰ τοῦ Σανταβαρηνοῦ, καὶ φωραθεὶς ἐν τῷ τουβίῳ τοῦτο βαστάζων πολλὰ περὶ τούτου ἀπολογούμενος οὐκ ἠκούετο. Ἐτύφθη οὖν Νικήτας ὁ πρωτοβεστιάριος αὐτοῦ, ὃς γέγονεν παπίας ἐπὶ Ῥωμανοῦ βασιλέως, καὶ ἄλλοι μετ' αὐτοῦ πολλὰ δεινὰ πεπονθότες, ἐξωρίσθησαν. Ὁ δὲ βασιλεὺς Λέοντα καθείρξας ἐν τῷ τρικλινίῳ τὸν Μαργαρίτην [τῷ Μαργαρίτῃ] ἐβούλετο ἐκτυφλῶσαι αὐτὸν, εἰ μὴ Φώτιος ὁ πατριάρχης διὰ

FRANC. COMBEFISII NOTÆ.

(53) Indumenti genus videatur, idque cultioris, quo imperator tanti templi a se exstructi encænia honorare voluerit. Quid si τὸ ἐπιλωρίκιον explicatum ad Codinum *De officiis? Le Saye Royal*. Sceptrum ea voce significari, non facile persuadeor : tænias, quarum etiam usus in habitu Augustali sum significet, cogitet Lector.

(54) Lego, ἀκριβῶς μεμυημένος· *tanquam in Apollonii secta diligenter versatus, ac artis magicæ valde peritus*. Nota Apollonii Tyanæi conficta miracula, atque magis.

(55) Constantinus, τοῦ ὑποδήματος ἐντός, *intra ocreas*.

πολλῶν παρακλήσεων τοῦτο διεσκέδασεν ἅμα Ζαούτζᾳ Στυλιανῷ μικρῷ ἑταιριάρχῃ. Ἐποίησεν δὲ ἀπὸ ὄψεως μῆνας τρεῖς θρηνῶν καὶ ὀδυρόμενος, καὶ δι' ἐπιστολῶν πολλὰ δυσωπῶν τὸν βασιλέα. Μεγάλην δὲ πίστιν τοῦ βασιλέως ἔχοντος εἰς τὸν ἅγιον Ἡλίαν, ἀποσυνοψίζει Λέων ὁ βασιλεὺς (56) ἐν τῇ τοῦ ἁγίου Ἡλίου μνήμῃ. Τῆς δὲ προελεύσεως γενομένης, ἰδόντες αὐτὸν οἱ λαοὶ ἐπεφώνησαν τὸ, *Δόξα σοι, ὁ Θεός!* Ὁ δὲ βασιλεὺς ἀντιστραφεὶς ἀπελογήσατο αὐτοῖς· Δοξάζετε περὶ τοῦ υἱοῦ μου τὸν Θεόν; πολλὰς θλίψεις [ὑπ' αὐτοῦ] ἔχετε ὑπ' αὐτοῦ ὑπομεῖναι, καὶ ἐπωδύνους ἡμέρας. Κατηγορήθη δὲ Ἀνδρέας δομέστικος τῶν σχολῶν παρὰ Σανταβαρηνοῦ πρὸς τὸν βασιλέα, ὡς τὰ Λέοντος φρονῶν, καὶ διεδέχθη παρὰ τοῦ βασιλέως. Ἀντ' αὐτοῦ δὲ προεβλήθη δομέστικος ὁ Στουπιώτης. Καὶ ἀπελθὼν μετὰ λαοῦ ἐν Ταρσῷ ἡττήθη. Καὶ πάλιν προχειρίζεται παρὰ τοῦ βασιλέως Ἀνδρέας δομέστικος. Ἐγένετο δὲ συσκευὴ κατὰ τοῦ βασιλέως παρὰ τοῦ Ἰωάννου τοῦ Κουρκούα δομεστίκου ὄντος τῶν ἱκανάτων χρηματισθέντος παρὰ τοῦ ὄντος ἐν Βλαχέρναις ἐγκλείστου· εὑρέθησαν δὲ πολλοὶ μετ' αὐτοῦ τῶν συγκλητικῶν καὶ λοιπῶν ἀρχόντων, μέχρι τῶν ἑξήκοντα ἕξ. Ἦν γὰρ Μιχαὴλ ὁ ἑταιριάρχης, καὶ ὁ Κατουδάρης, καὶ ὁ Μυξάρης, καὶ ὁ Βαβούτζικος, καὶ οἱ λοιποί. Τῆς γὰρ τοιαύτης ἐπιβουλῆς μηνυθείσης τῷ βασιλεῖ παρὰ τοῦ πρωτοβεστιαρίου τοῦ Κουρκούα..... Κατελθόντων δὲ πάντων ἐξελθὼν βασιλεὺς ἐν τῷ ἱπποδρόμῳ, καὶ καθεσθεὶς ἐκεῖσε καὶ ἀνακρίνας τὰ κατ' αὐτοὺς πάντας τύψας καὶ κουρεύσας, τὰς ἔτι περιλειφθείσας τρίχας κατέκαυσεν. Μετὰ δὲ ταῦτα ἐξῆλθεν ἐν τῇ προελεύσει τοῦ Εὐαγγελισμοῦ, ὅτε καὶ τὴν ἐπιβουλὴν ἔμελλον ποιῆσαι. Περιεπάτουν δὲ ὄπισθεν αὐτοῦ γυμνοὶ μέχρι τοῦ φόρου δεδεμένοι, καθὼς διωρίσατο. Εἶθ' οὕτως πάντας δημεύσας, ἐξώρισεν. Τοῦ δὲ βασιλέως ἐξελθόντος πρὸς τὸ κυνηγῆσαι ἐλάφου ποθὲν ἀναφανέντος παμμεγέθους, ὡς αὐτὸν ὁ βασιλεὺς κατεδίωκεν, ἐπιστραφεὶς, ἦρεν τὸν βασιλέα ἐκ τῆς ζώνης ἀπὸ τοῦ ἵππου μετὰ τοῦ κέρατος αὐτοῦ. Φθάσας δέ τις, καὶ τὴν σπάθην γυμνώσας, τὴν ζώνην (57) ἐκκόψας, τὸν βασιλέα ἐρρύσατο. Μετὰ δὲ τὸ ἀποστραφῆναι ἐκέλευσεν τὴν ζώνην ἀποτεμόντος ἀποτμηθῆναι τὴν κεφαλὴν, ὡς γυμνώσαντος τὸ ξίφος κατ' αὐτοῦ, πολλὰ ἀπολογουμένου, ὡς Ὑπὲρ σοῦ τοῦτο πεποίηκα. Ἀλλ' οὐδὲν ὠφέλησεν. Ἐκ δὲ τοῦ

A Leonem in custodiam ad Margaritæ triclinium conjectum excæcare meditabatur, nisi precibus plurimis una cum Zautza Styliano hetæriarcha minore Photius consilium dissipasset. Imperatoris itaque conspectu privatus, menses tres, sortem deflens ac plorans, et frequentibus scriptis **474** imperatorem interpellans egit. Devotione vero summa et in sanctum Eliam fiducia ferebatur imperator Basilius: Leo quoque ad sancti Eliæ memoriam in vigiliis noctem egit. Imperatore mox solemni processu incedente, videntes eum populi turmæ exclamaverunt, *Gloria tibi, Deus!* Imperator conversus respondit eis: Filii mei causa laudatis Deum? calamitates ab eo patiemini plurimas, et lugubres ab eo dies sustinebitis. Accusatus est pariter Andreas B scholarum domesticus a Santabareno apud imperatorem, quasi Leonis consiliorum particeps, et eapropter ab imperatore dignitate motus est, et in ejus locum Stupiotes domesticus suffectus. In Tarsum vero profectione suscepta superatus est. Rursum etiam Andreas domesticus restitutus. Facta est porro adversus imperatorem Joanne Curcua Icanatorum domestico conjuratio, qui vaticinio de imperatoria dignitate assequenda a quopiam in Blachernis incluso delusus est. Ex senatoriis vero reliquisque proceribus ad sexaginta sex usque illi adhæserunt, inter quos Michael hetæriarches, et Catudares, et Myxares, et Babutzicus, et alii numerabantur. Hac autem conjuratione a protovestiario Curcua imperatori detecta, cum forte in Circo C ludi celebrarentur, et illuc omnes convenirent, adfuit pariter imperator, et ibidem sedens de iis examen habuit: eisdemque verberibus cæsis et coma detonsis, reliquos ad cutem pilos adussit. Celebri postmodum comitatu festo Annuntiationis celebrato, quo conjurationem ad exitum erant perducturi, illi retro sequebantur nudi, et vinculis ligati, sicut præceperat imperator, ad forum usque: eorum bonis demum publicatis cunctos in exsilium egit. Cæterum ad venandum aliquando progressus imperator, cervum prægrandem obviam habuit: eoque feram cursibus insequente, conversus cervus, cornu in imperatoris zonam impacto, ipsum ex equo sustulit. Accurrens autem e comitibus quispiam nudato ense zonam præscindens, imperato-

FRANC. COMBEFISII NOTÆ.

(56) *Paterna præsentia, atque conspectu privatus erat;* nondum scilicet plene ei restituta paterna gratia, ad quam ei restituendam ea videtur lusa fabula: ut sicut proceres in convivio solvi carcere obtinuerant, captata occasione ex psittaci Leonem memorantis, ac velut deplorantis garrulo strepitu; sic populus in sancti Eliæ solemni processu, cui Basilius devotissimus esset, ac velut festi gratia indulgentiam absolutam, paternumque successori solium ambiat. Illuc enim illa exclamatio collineat, *Gloria tibi, Domine,* subintroducto Leone ac præsente sub ipso patris processu, ejusdemque ad eam responsio. Ejusdem vocis vis aperitur et pag. 483, ubi de Damiano refuga, cum quo Leo vellet mitius agi, dicitur, ἤθελεν ὁ βασιλεὺς ἀποσυνοψισθῆναι αὐτῷ· expriumuntque Cedr. et Anonym., συγγνώμης D τυχεῖν αὐτόν. *Hanc ei mitissimam pœnam imponi, ut in conspectum venire non liceret. Se retirer pour un temps de la cour.* Sic sequentia ejusdem Anonym. declarant: Ἐποίησε Σαμωνᾶς ἀπὸ ὄψεως μῆνας τέσσαρας ἐν τῷ Καίσαρος καθήμενος· καὶ μετὰ ταῦτα τῆς βασιλικῆς ὄψεως καὶ ὁμιλίας κατηξιώθη. *Egit Samonas menses quatuor in Bardæ Cæsaris domo, aula exclusus; tumque in conspectum, ac colloquium imperatoris est admissus.* Sic de ipso Leone, ἐποίησεν ἀπὸ ὄψεως μῆνας τρεῖς, quos istud secutum est.

(57) Constantinus solum metum ex cervo refert, reliqua ut odiosa Basilio, silentio premit; illius magis laudum orator, quam rerum ab eo gestarum certus enarrator.

rem liberavit. Ille ad se reversus zonam præscindentis, quasi adversum se gladium exserentis, factum licet defensione plurima excusantis, et, Liberandi tui gratia hoc admisi, dicentis, adeoque nihil proficientis, caput amputari jussit: verum ex cervi concussione et laceratione morbo correptus Basilius, Leone relicto imperatore et Alexandro, mortuus est.

A σπαραγμοῦ τοῦ ἐλάφου νοσηλευθεὶς Βασίλειος τελευτᾷ, καταλιπὼν Λέοντα αὐτοκράτορα καὶ Ἀλέξανδρον.

475 *LEO.*

Leo Basilii filius annos quinque supra viginti, menses octo imperavit. Stephanus autem, ejus frater, syncellus erat cum Photio patriarcha ab eo educatus et eruditus. Leo idem post assumptum imperium, Andrea militiæ magistro cum cereorum, clericorum et senatorii ordinis copia, Chrysopolim misso, Michaelis imperatoris corpus e sepulcro eductum, cypressino loculo conditum, lecticaque impositum, regiisque vestibus ornatum, hymnisque et pompa multa honoratum efferri jussit. Pone sequebantur ejus fratres, funusque ad Sanctos Apostolos prosecuti sunt, corpusque tumulo reposuerunt. Imperator postmodum Andream domesticum scholarum, una cum Joanne Hagiopolita, viro litteris præstantissimo, qui etiam cursus publici logotheta exstitit, mandavit, qui ambone ecclesiæ conscenso, et causis in Photium patriarcham lectis, throno abdicare se coegerunt, et in Armenianorum monasterium Bordi dictum detruserunt. Promoverat autem imperator Stylianum Zautzam magistrum et cursus publici logothetam. Fratrem etiam Stephanum in patriarchium induxit, qui imminentibus Christi Natalitiis, patriarcha consecratur a Theophane, primæ post patriarcham sedis episcopo, et a reliquis præsulibus. Vixitque in patriarchatu annos sex et menses quinque, et vita functus in Sicelorum monasterio sepelitur.

Leonis tempore castrum cognomento Excelsum proditum, et missis in captivitatem civium pluribus ab Agarenis occupatum est. Contigit incendium ingens Sophias proxime, quo Sancti Thomæ ecclesia, quam deinde Leo magnifice reparavit, consumpta est. Misso vero ad Euchaita nuntio Theodorum Santabarenum in urbem vocavit imperator. Andreas autem domesticus et Stephanus magister Bonæ Mariæ filius a Santabareno contumelias quondam passi, insidias deinde in eum machinati, suggesserunt imperatori Photium patriarcham et Theodorum Santabarenum, ex Photii patriarchæ consanguineis aliquem constituere imperatorem consiliatos. Imperator Photium patriarcham et Theodorum Santabarenum ad Pegarum palatia deduci et utrumque seorsim custodiri jussit. Stephano autem magistro et Andreæ Cratero domestico et Guberi patricio et Joanni agiopolitæ ab imperatore mandatum, **476** ut eorum causam diligenter inquirerent. Adducto itaque patriarcha,

ΛΕΩΝ.

Λέων υἱὸς Βασιλείου ἐβασίλευσεν ἔτη εἴκοσι πέντε μῆνας ὀκτώ. Στέφανος δὲ ὁ αὐτοῦ ἀδελφὸς (58) σύγκελλος ἦν μετὰ Φωτίου πατριάρχου ἀνατρεφόμενος παρ' αὐτοῦ, καὶ παιδευόμενος. Ὁ δὲ αὐτὸς Λέων μετὰ τὸ αὐτοκρατορῆσαι ἀπέστειλεν Ἀνδρέαν στρατηλάτην μετὰ κηρῶν πολλῶν καὶ κληρικῶν, καὶ συγκλητικῶν ἐν Χρυσοπόλει, καὶ ἐξήγαγεν Μιχαὴλ ἐκ τοῦ τάφου, καὶ ἔβαλεν ἐν γλωσσοκόμῳ κυπαρισσίνῳ, καὶ ἐπὶ κραββάτου θέντες, σκεπάσαντες βασι-
B λικῶς καὶ τιμήσαντες μεθ' ὕμνων καὶ τιμῆς πολλῆς, ἑπομένων ἐκεῖσε καὶ τῶν ἀδελφῶν αὐτοῦ, ἤγαγον εἰς τοὺς Ἁγίους Ἀποστόλους, καὶ ἀπέθεντο ἐν λάρνακι. Μετὰ ταῦτα δὲ ὁ βασιλεὺς ἀπέστειλεν Ἀνδρέαν δομέστικον τῶν σχολῶν ἅμα Ἰωάννῃ Ἁγιοπολίτῃ σοφωτάτῳ καὶ γεγονότι λογοθέτῃ τοῦ δρόμου· καὶ ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας ἀνελθόντες, καὶ τὰς τοῦ πατριάρχου Φωτίου αἰτίας ἐπαναγνόντες τοῦτον τοῦ θρόνου κατήγαγον, καὶ ἀνήγαγον αὐτὸν ἐν τῇ μονῇ τῶν Ἀρμενιανῶν, τῇ λεγομένῃ τοῦ Βόρδου· προεβάλετο δὲ ὁ βασιλεὺς τὸν Στυλιανὸν Τζαούτζαν μάγιστρον καὶ λογοθέτην τοῦ δρόμου· ἀνήγαγεν δὲ Στέφανον αὐτοῦ ἀδελφὸν ἐν τῷ πατριαρχείῳ, καὶ πρὸ τῶν Χριστοῦ γέννων χειροτονεῖται πατριάρχης
C ὑπὸ Θεοφάνους τοῦ πρωτοθρόνου καὶ λοιπῶν ἀρχιερέων, ποιήσας ἐν τῷ πατριαρχείῳ ἔτη ἕξ, καὶ μῆνας πέντε, καὶ τελευτήσας θάπτεται ἐν τῇ μονῇ τῶν Σικέλων.

Ἐπὶ Λέοντος προεδόθη τὸ κάστρον, ἡ λεγομένη Ὑψηλή, καὶ ἐκρατήθη ὑπὸ τῶν Ἀγαρηνῶν, αἰχμαλωτισθέντων πάντων τῶν ἐκεῖσε. Γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας πλησίον τῶν Σοφιῶν, ἐμπρησθείσης καὶ τῆς ἐκκλησίας τοῦ Ἁγίου ἀποστόλου Θωμᾶ, ἣν αὐτὸς Λέων λαμπρῶς ἀνεκαίνισεν. Ἀπέστειλεν δὲ ὁ βασιλεὺς εἰς Εὐχαΐταν, καὶ ἤγαγεν Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τῇ πόλει. Ἀνδρέας δὲ ὁ δομέστικος καὶ Στέφανος ὁ μάγιστρος ὁ τῆς Καλομαρίας, οἱ πολλὰ λοιδορηθέντες (59) παρὰ Σανταβαρηνοῦ, ὑπέθηκαν τῷ βασιλεῖ συσκευὴν ποιησάμενοι, ὡς ὅτι
D Φώτιος ὁ πατριάρχης καὶ Θεόδωρος ὁ Σανταβαρηνὸς βουλὴν εἶχον ποιῆσαι βασιλέα ἐκ τῶν ἰδίων Φωτίου τοῦ πατριάρχου. Προσέταξεν δὲ ὁ βασιλεὺς ἀγαγεῖν Φώτιον τὸν πατριάρχην καὶ Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τοῖς παλατίοις τῶν Πηγῶν, καὶ ἰδίως αὐτὸν [αὐτοὺς] φρουρεῖσθαι διωρίσατο. Ἀπεστάλησαν δὲ παρὰ τοῦ βασιλέως Στέφανος μάγιστρος, καὶ Ἀνδρέας δομέστικος ὁ Κρατερὸς, καὶ ὁ Γούβερ πατρίκιοι, καὶ Ἰωάννης ὁ Ἁγιοπολίτης, ἐπὶ τὸ ἐξετάσαι

FRANC. COMBEFISII NOTÆ.

(58) Supple κληρικὸς ὤν, καὶ σύγκελλος ἦν. Sic et Continuator Vat., in reliquis parum a Leone diversus. *Cum esset clericus, etiam Syncellus cum Photio agebat.*

(59) Bene Continuat., διαβληθέντες. *Quos malorum reos egerat.*

τὰ κατ' αὐτῶν (60). Καὶ ἀγαγόντες τὸν πατριάρχην, καὶ καθίσαντες ἐπὶ θρόνου ἐν τιμῇ, καὶ αὐτοὶ καθεσθέντες, ἔφη πρὸς τὸν πατριάρχην Ἀνδρέας ὁ δομέστικος· Γνωρίζεις, ὦ δέσποτα, τὸν ἀββᾶν Θεόδωρον; Ὁ δέ· Ἀββᾶν Θεόδωρον οὐ γνωρίζω. Καὶ ὁ Ἀνδρέας· Τὸν ἀββᾶν Θεόδωρον τὸν Σανταβαρηνὸν οὐ γνωρίζεις; Καὶ ὁ πατριάρχης· Γινώσκω τὸν ἀββᾶν Θεόδωρον ἀρχιεπίσκοπον ὄντα Εὐχαΐτων. Ἤγαγον δὲ καὶ τὸν Σανταβαρηνόν· καὶ λέγει πρὸς αὐτὸν Ἀνδρέας ὁ δομέστικος· Ὁ βασιλεύς σοι δηλοῖ· Ποῦ εἰσι τὰ χρήματα, καὶ τὰ πράγματα τῆς ἐμῆς βασιλείας; Ὁ δὲ ἔφη· Ποῦ δέδωκεν αὐτὰ ὁ βασιλεύς, ὁ κατὰ τὴν ἡμέραν, εἰσίν. Νῦν δὲ ἐπεὶ κελεύει ἀναζητεῖν ταῦτα, ἐξουσίαν ἔχει ἀναλαβέσθαι αὐτά. Καὶ ὁ Ἀνδρέας ἔφη πρὸς αὐτόν· Εἰπὲ, τίνα ἐβούλου ποιῆσαι βασιλέα, ὑποθέμενος τῷ ἐμῷ πατρὶ διὰ συσκευῆς σου τυφλῶσαί με, πατριάρχου ἴδιον, ἢ σόν; Ὁ [δὲ] ἀποκριθεὶς εἶπεν· Οὐ γινώσκω τὸ σύνολον περὶ τούτου. Λέγει οὖν ὁ μάγιστρος Στέφανος· Καὶ πῶς ἐμήνυσας τῷ βασιλεῖ ἐλέγξειν περὶ τούτου τὸν πατριάρχην (61); Ὁ δὲ Σανταβαρηνὸς παρευθὺ πεσὼν εἰς πόδας τοῦ πατριάρχου, εἶπεν· Ὁρκίζω σε κατὰ Θεοῦ, δέσποτά μου, ἵνα πρῶτον ποιήσῃς τὴν ἐμὴν καθαίρεσιν· καὶ τότε γυμνὸν ὄντα με τῆς ἱερωσύνης κολαζέτωσαν, ὡς κακοῦργον. Οὐ γὰρ τοιαῦτα ἐδήλωσα τῷ βασιλεῖ. Ὁ δὲ πατριάρχης ἐνώπιον πάντων ἔφη· Μὰ τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς, κῦρι Θεόδωρε ἀρχιεπίσκοπε, οὐ καὶ ἐν τῷ νῦν αἰῶνι (62), καὶ ἐν τῷ μέλλοντι. Θυμωθεὶς οὖν Ἀνδρέας ἐπὶ τούτοις ἔφη· Οὐκ ἐμήνυσας, ἀββᾶ, τῷ βασιλεῖ δι' ἐμοῦ, ὅτι Ἵνα ἐλέγξω τὸν πατριάρχην ἐν τούτῳ; Ὁ δὲ ἀπηρνήσατο μηδὲν εἰδέναι. Ὑποστραφέντες οὖν ἀνήγγειλαν τῷ βασιλεῖ τὰ λαληθέντα παρ' αὐτῶν. Ὁ δὲ βασιλεὺς θυμῷ τε καὶ ὀργῇ ἀκατασχέτῳ ληφθεὶς, ὡς μὴ εὑρὼν αἰτίαν κατὰ τοῦ πατριάρχου, ἀποστείλας ἔτυψε τὸν Σανταβαρηνὸν σφοδρῶς, καὶ τοῦτον ἐξώρισεν ἐν Ἄθῳ (63), ὄπισθεν δὲ αὐτοῦ ἀποστείλας, ἐτύφλωσεν αὐτὸν, καὶ ἐξώρισεν εἰς Ἀνατολήν. Μετὰ πολλὰ δὲ ἔτη παρακληθεὶς ὁ βασιλεὺς τοῦτον εἰσήγαγεν ἐν τῇ πόλει, καὶ προσέταξεν αὐτὸν λαμβάνειν ἀνόνας ἐκ τῆς Νέας Ἐκκλησίας. Ἐτελεύτησεν δὲ αὐτὸς ὁ Σανταβαρηνὸς ἐπὶ Κωνσταντίνου καὶ Ζωῆς τῆς αὐτοῦ μητρός.

Ἐπὶ τῆς βασιλείας οὖν Λέοντος Ἀγίων ὁ Λογγόβαρδος καὶ δοὺξ, γαμβρὸς δὲ γεγονὼς τοῦ ῥηγὸς Φραγγίας, ἀντῆρεν τῷ βασιλεῖ πᾶσαν τὴν χώραν πρὸς ἑαυτὸν δουλωσάμενος· τοῦτο γνοὺς ὁ βασιλεὺς ἀπέστειλεν τὸν Κωνσταντῖνον τὸ τῆς τραπέζης σὺν πᾶσι τοῖς θέμασι τῆς Δύσεως πρὸς τὸ καταπολεμῆσαι τὸν Ἀγίωνα, καὶ συμβολῆς γενομένης ἡττήθησαν οἱ μετὰ Κωνσταντίνου, καὶ κατεσφάγησαν μόλις αὐτοῦ διασωθέντος. Γέγονε δὲ ἔκλειψις ἡλιακή,

A eoque cum honore in throno sedere jusso, ipsisque pariter sedentibus, Andreas domesticus patriarchæ dixit: Agnoscis, domine, abbatem Theodorum? Ad hæc ille: Abbatem Theodorum non novi. Tum Andreas: Abbatem Theodorum Santabarenum ignoras? Respondit patriarcha: Abbatem Theodorum novi Euchaitarum archiepiscopum. Tunc Santabarenum in medium adduxerunt, et dicit ad eum Andreas domesticus: Hoc mandat imperator: Ubinam sunt pecuniæ et imperii mei supellex? Dixit ille: Ubi, qui hac die regnat imperator, ea deposuit. Nunc vero si jubet isthæc inquiri, eadem recipere potestatem habet. Tum ad illum Andreas: Responde: Quem meditabaris imperatorem constituere quando fraudulenta molitione suggessisti patri meo obcæ-

B care me: ex patriarchæ amicis aut ex tuis aliquem? Qui respondens, ait: De hoc nihil penitus novi. Magister Stephanus dixit: Quomodo significasti imperatori, te de ea re patriarcham convicturum? Statim autem Santabarenus ad pedes patriarchæ provolutus: Adjuro te per Deum, domine mi, ut me ecclesiastica dignitate exauctores et deponas, atque ita me sacerdotio privatum velut maleficum illi me puniant: non hæc ullo modo imperatori suggessi. Patriarcha mox in omnium conspectu dixit: Per salutem animæ meæ, domne Theodore archiepiscope, neque in præsenti sæculo, neque in futuro. His exacerbatus Andreas dixit: Non indicasti, abba, imperatori per me, ut de his patriarcham accusa-

C rem? Ille se quidquam scire negavit. Igitur reversi nuntiaverunt imperatori quæ dicta erant. Imperator ira et effreni furore percitus, ceu causa adversus patriarcham non inventa, Santabarenum copiosis verberibus tunsum in Athos montem exsulare jussit. Pone vero mittens oculis orbavit, et in Asiam relegavit. Post annos aliquot placatus imperator hominem reduxit in urbem, et ex Nova ecclesia annonam percipere ordinavit. Idem Santabarenus sub Constantino et Zoe ejus matre defunctus est.

Cæterum Longobardiæ dux Agion, regis Franciæ gener, rebellione in imperatorem mota, regionem

D omnem suo subjecit imperio. Eo cognito, imperator Constantinum mensæ suæ præfectum una cum occidentalibus cunctis legionibus ad debellandum Agionem misit, et unito congressu victi sunt, qui cum Constantino erant, ipsoque vix superstite cæteri perierunt. Facta est autem solaris eclipsis: ita ut horas sex profunda nox et astra apparerent;

FRANC. COMBEFISII NOTÆ.

(60) Continuator, διαγνώμονας τῶν κατ' αὐτῶν κινουμένων, *cognitores misit eorum, quorum Photius ac Theodorus accusabantur.*

(61) Hanc Santabareni delationem urget etiam in seq. Quod sequitur de depositione, quam Santabarenus poscit ut nudus sacerdotio posset pœnis addici, argumento est antiquæ traditionis, ut ante depositionem, quæ erat sacerdotum, nihil sibi laica potestas in clericos, præsertim episcopos permitteret. Cui rei vindicandæ studet illustrissimi archiepiscopi Tolosani Petri de Marca labor et opera.

(62) Ἀρχιεπίσκοπος εἶ, καὶ ἐν τῷ νῦν· ut et Anonym., *Archiepiscopus es inque eo quod nunc est, et in futuro ævo*; id est, nulla dignum depositione agnosco.

(63) Ἐξώρισεν ἐν Ἀθήναις· perinde ac alii, *Athenas relegavit.*

sed et tonitrua ventorumque impetus 477 et fulgura facta sunt tam horrida, ut in fori gradibus septem homines igne consumpti sint. Capta urbs Samus ab Agarenis, abducto etiam prætore captivo. Leo autem Zautzam imperatoris Patris titulo exornavit, cujus filiam Zoen jam adamabat, marito ejus Theodoro Guzuniata veneno quodam sublato. Mortuo autem Stephano patriarcha, in ejus locum Antonius cognomento Cauleas ordinatur.

A ὥστε νύκτα γενέσθαι ὥρας ἓξ καὶ τοὺς ἀστέρας φαίνεσθαι· ἀλλὰ καὶ βρονταὶ, καὶ συνοχὴ ἀνέμων, καὶ ἀστραπαὶ γεγόνασιν, ὥστε καῆναι ἐν τοῖς ἀναβαθμοῖς τοῦ φόρου ἀνθρώπους ἑπτά. Καὶ ἐπολιορκήθη ὑπὸ τῶν Ἀγαρηνῶν ἡ Σάμος τὸ κάστρον, αἰχμαλωτισθέντος τοῦ στρατηγοῦ τοῦ Πασπαλᾶ. Προεχειρίσατο δὲ Λέων ὁ βασιλεὺς Ζαοῦτζαν βασιλεοπάτορα συμφιλιωθεὶς ἤδη Ζωῇ τῇ αὐτοῦ θυγατρὶ, φαρμάκῳ τινὶ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς Θεοδώρου τοῦ Γουζουνιάτου (64). Στεφάνου δὲ πατριάρχου τῶν τῇδε μεταστάντος χειροτονεῖται ἀντ' αὐτοῦ Ἀντώνιος, ὁ λεγόμενος Καυλέας.

A duce vero Macedoniæ venit nuntius Simeonem Bulgariæ principem adversus Romaniam perfectionem meditari. Causa vero quæ Simeonem movit, hæc erat: Zautzas imperatoris pater servum habuit eunuchum nomine Musicum. Hic Stauracio et Cosmæ prædivitibus mercatoribus Græcis amicitia junctus est: qui quidem turpi lucro intenti auctoritate Musici, quod erat in urbe Bulgarorum commercium, Thessalonicam transtulerunt, et vectigalibus impositis pessime Bulgaros exercuerunt. His Simeoni a Bulgaris significatis, eadem hæc Simeon Leoni imperatori fecit manifesta. Imperator, a patre imperatorio Musico nimis affecto præpeditus, cuncta nihilo magis æstimavit. Furens igitur Bulgarus adversus Romanos exercitum instruit. Quibus auditis, mittit imperator Crinitem militiæ magistrum cum armis ac multis urbis proceribus adversus Bulgaros: consertaque pugna in Macedonia, vertuntur in fugam Romani, ipso Crinite, et Cortice Armenio, cæterisque omnibus occisis. Ex Chazaris qui auxiliares Leoni advenerant, comprehensi, naribusque præcisi, in contemptum Romanorum ad urbem a Simeone remissi sunt. Quos imperator conspicatus et accensus ira, misit Nicetam, cognomento Sclerum ad Danubii fluminis ripas cum celocibus munera Turcis oblaturum, et ad arma contra Simeonem excitaturum. Profectus ille et collocutus etiam cum capitibus Arpade et Cusane, in belli societatem consentientibus illis, acceptis obsidibus, ad imperatorem rediit. Ille rursum Eustathium patricium et classis drungarium mari, terra vero Nicephorum patricium et Phocam, et legionum domesticum delegat, qui Bulgariam usque penetraverunt. Pacis postmodum cupidus imperator, Constantinacem quæstorem de pace cum Simeone consulturum misit. Simeon arma bellumque terra et mari in se mota conspiciens, quæstorem quasi dolose agentem sub custodia inclusit. Simeone vero cum Phocæ copiis occupato, Turci, trajecto Danubio, totam Bulgariam captivam 478 fecere. His auditis Simeon movet adversus Turcos. Illi in contrariam ripam transeuntes cum Bulgaris

Ἦλθε δὲ ἀγγελία παρὰ τοῦ στρατηγοῦ Μακεδονίας, ὡς ὁ ἄρχων Βουλγαρίας Συμεὼν βούλεται ἐκστρατεῦσαι κατὰ Ῥωμανίας. Ἡ δὲ αἰτία δι' ἣν ὠργίζετο Συμεὼν ἦν αὕτη· Ζαοῦτζας ὁ βασιλεοπάτωρ εἶχεν εὐνοῦχον δοῦλον ὀνόματι Μουσικόν. B Οὗτος ἐφιλιώθη Σταυρακίῳ καὶ Κοσμᾷ, Ἑλλαδικοῖς φιλοχρύσοις καὶ πραγματεῖς [πραγματεῦσι], οἵτινες πρὸς αἰσχροκέρδειαν ἀφορῶντες, μεσιτείᾳ καὶ δυνάμει τοῦ Μουσικοῦ διέστησαν τὴν ἐν τῇ πόλει πραγματείαν τῶν Βουλγάρων ἐν Θεσσαλονίκῃ, κακῶς τοὺς Βουλγάρους διοικοῦντες ἐν τῷ κουμερκεύειν. Οἱ δὲ Βούλγαροι τοῦ [τῷ] Συμεὼν (65) ταῦτα ἀνήγγειλαν· ὁ δὲ δῆλα πεποίηκεν τῷ βασιλεῖ Λέοντι. Ὁ δὲ βασιλεὺς ὑπὸ τοῦ βασιλεοπάτορος κωλυόμενος προσπαθοῦντος Μουσικῷ, πάντα ὡς λῆρον ἤκουσεν. Μανεὶς οὖν ὁ Βούλγαρος ἐκστρατεύει κατὰ τῶν Ῥωμαίων. Καὶ μαθὼν ταῦτα ὁ βασιλεὺς ἀποστέλλει τὸν Κρινίτην στρατηλάτην κατὰ τῶν Βουλγάρων μετὰ ὅπλων καὶ ἀρχόντων πολλῶν τῆς πόλεως, καὶ συμ- C βολῆς γενομένης ἐν Μακεδονίᾳ (66), τρέπονται οἱ Ῥωμαῖοι σφαγέντος τοῦ Κρινίτου, καὶ τοῦ Ἀρμένη τοῦ Κορτίκη, καὶ τῶν λοιπῶν πάντων. Ἐκ δὲ τῶν Χαζάρων οἳ ἦσαν εἰς τὴν ἑταιρίαν τοῦ Λέοντος κρατηθέντες, καὶ τὰς ῥῖνας αὐτῶν κοπέντες εἰς αἰσχύνην Ῥωμαίων ἐν τῇ πόλει παρὰ Συμεὼν ἀπεστάλησαν· οὓς ἰδὼν ὁ βασιλεὺς, καὶ θυμωθεὶς ἀπέστειλεν Νικήταν, τὸν ἐπιλεγόμενον Σκληρὸν, μετὰ δρομώνων ἐν τῷ ποταμῷ τοῦ Δανουβίου δοῦναι δῶρα τοῖς Τούρκοις, καὶ πρὸς πόλεμον κινῆσαι μετὰ Συμεών. Ὁ δὲ ἀπελθὼν, καὶ συντυχὼν καὶ ταῖς κεφαλαῖς Ἀρπάδῃ καὶ Κουσάνῃ καὶ συνθεμένων πολεμῆσαι, ὁμήρους λαβὼν ἦλθε πρὸς τὸν βασιλέα. Ὁ δὲ βασιλεὺς πάλιν διὰ τῆς θαλάσσης ἀπέστειλεν Εὐστάθιον πατρίκιον καὶ δρουγγάριον τῶν πλοΐμων, D Νικηφόρον δὲ πατρίκιον τὸν Φωκᾶν καὶ δομέστικον μετὰ τῶν θεμάτων ἀπέστειλεν διὰ γῆς, καὶ ἦλθεν μέχρι Βουλγαρίας. Ὁ δὲ βασιλεὺς τὴν εἰρήνην ἀσπαζόμενος μετὰ τοῦτο ἀπέστειλε καὶ Κωνσταντινάκην κοιαίστωρα πρὸς Συμεῶνα τὰ περὶ εἰρήνης συμβουλεύοντα. Συμεὼν δὲ, τὴν κατ' αὐτοῦ κίνησιν διά τε γῆς καὶ θαλάσσης ἰδὼν, ἐν φρουρᾷ κατακλείει τὸν κοιαίστωρα, ὡς ἐπὶ δόλῳ ἐλθόντα. Περάσαντες

FRANC. COMBEFISII NOTÆ.

(64) Adulterii consuetudinem cum Zoe habuisse Leonem docet Cedrenus etiam vivente Theophanone, ut ea causa fuerit propinati viro illius veneni. Τὸ βασιλεοπάτωρ, titulus a Leone inventus, idem fere qui συμπένθερος, *consocer*, seu etiam, ὁ παραδυναστεύων· cui tanquam patri imperator deferret, cujus maxime consiliis reimp. regeret.

(65) De Symeone plura auctor Vitæ Lucæ junioris tom. II *Auctar.* decerptæ, ac propediem plenius Bollando mense Februario producendæ.

(66) Sic et Anonymus. Goar., ἐν Ῥωμανίᾳ.

δὲ οἱ Τοῦρκοι, τοῦ Συμεὼν ἐπὶ τὸ στράτευμα Φωκᾶ ἀσχολουμένου, ᾐχμαλώτευσαν πᾶσαν τὴν Βουλγαρίαν. Ταῦτα μαθὼν Συμεὼν κινεῖται κατὰ τῶν Τούρκων. Οἱ δὲ ἀντιπεράσαντες συμβάλλουσι πόλεμον κατὰ Βουλγάρων, καὶ τρέπεται Συμεὼν μόλις διασωθεὶς ἐν τῇ Δίστρᾳ. Οἱ δὲ Τοῦρκοι ᾐτήσαντο βασιλέα ἀποστεῖλαι καὶ ἀγοράσαι τὴν αἰχμαλωσίαν τῶν Βουλγάρων· ὃ δὴ καὶ πεποίηκεν ὁ βασιλεὺς, τοὺς πολίτας ἀποστείλας τοῦ ἀγοράσαι αὐτούς. Ὁ δὲ Συμεὼν δι' Εὐσταθίου δρουγγαρίου ἐδεήθη τὰ περὶ τῆς εἰρήνης, πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεύς· καὶ ἀπέστειλεν τὸν Λέοντα τὸν Χοιροσφάκτην πρὸς τὸ γενέσθαι εἰρήνην. Ἐδέξατο Νικηφόρος (67) ὑποστρέψαι μετὰ τοῦ λαοῦ, καὶ ὁ δρουγγάριος Εὐστάθιος ὁμοίως. Λέοντα δὲ οὐδὲ λόγου ἠξίωσεν Συμεὼν, ἀλλ' ἠσφαλίσατο ἐν εἱρκτῇ. Ἐκστρατεύσας δὲ κατὰ τῶν Τούρκων ἐκείνων ὀχύρωμα βοηθείας μὴ ἐχόντων παρὰ Ῥωμαίων, ἀλλ' ἀπρονοήτων ἐαθέντων, πάντας κατέσφαξεν, αὐξήσας τὴν μεγαλοψυχίαν αὐτοῦ, καὶ ὑποστρέψας εὗρεν Λέοντα ἐν τῇ Μουλδάγρᾳ, καὶ εἶπεν πρὸς αὐτόν· Οὐ ποιῶ εἰρήνην, ἐὰν μὴ πᾶσαν τὴν αἰχμαλωσίαν λάβω. Διωρίσατο οὖν ὁ βασιλεὺς ταύτην ἀποδοῦναι. Καὶ ἦλθεν μετὰ Λέοντος Θεόδωρος Βούλγαρος οἰκεῖος τοῦ Συμεὼν, καὶ παρέλαβεν αὐτούς. Νικηφόρου δὲ τοῦ Φωκᾶ τελευτήσαντος ἀφορμὰς ἐζήτει Συμεὼν τοῦ εἰρήνην διαλῦσαι. Ἐπιζητῶν γὰρ ἄλλους αἰχμαλώτους ἔρχεται κατὰ Ῥωμαίων. Λέων δὲ ὁ βασιλεὺς δομέστικον τῶν σχολῶν προβάλλεται Λέοντα τὸν Κατακαλὼν ἐν τῇ Ῥάβδῳ τὴν οἴκησιν ἔχοντα, καὶ μετ' αὐτοῦ ἀποστέλλει Θεοδόσιον πατρίκιον καὶ πρωτοβεστιάριον, καὶ περῶσιν ὅλα τὰ θέματα καὶ τὰ τάγματα. Καὶ γενομένης συμβολῆς μετὰ Συμεὼν εἰς τὸ Βουλγαρόφυγον ἐγένετο τροπὴ δημοσία, καὶ πάντες ἀπώλοντο, καὶ ὁ πατρίκιος Θεοδόσιος, δι' ὃν ὁ βασιλεὺς οὐ μετρίως ἠνιάθη. Ἐπὶ τούτου ἔσφαξαν καὶ ἐν Χερσῶνι οἱ τοῦ κάστρου τὸν στρατηγὸν αὐτῶν Συμεῶνα τὸν υἱὸν Ἰωνᾶ· παρελήφθη καὶ τὸ κάστρον τὸ Κόρον ἐν Καππαδοκίᾳ ὑπὸ τῶν Ἀγαρηνῶν. Ὁ δὲ πρόκενσον ἐποίησεν εἰς τὰ Δαμιανοῦ, συνόντος καὶ Ζαούτζα τοῦ παραδυναστεύοντος (68) καὶ τῆς θυγατρὸς αὐτοῦ Ζωῆς ἅμα τῷ βασιλεῖ. Θεοφανὼ δὲ ἡ γαμετὴ αὐτοῦ οὐ παρῆν ἐκεῖσε, ἀλλ' ἐν Βλαχέρναις ἐν τῇ ἁγίᾳ σορῷ προσεκαρτέρει εὐχομένη. Δόξαντος οὖν τοῦ βασιλέως μεῖναι ἐκεῖσε συμβούλιον ποιήσαντες οἱ τοῦ Ζαούτζα συγγενεῖς, ὅ τε υἱὸς αὐτοῦ ὁ Τζάντζης καὶ οἱ λοιποὶ ἐβούλοντο τῇ νυκτὶ φονεῦσαι τὸν βασιλέα. Ἡ δὲ Ζωὴ μετὰ τοῦ βασιλέως καθεύδουσα, καὶ τὴν ταραχὴν ἀκούσασα, διὰ τῆς θυρίδος προβλεψαμένη αὐτοὺς κατεσίγησεν. Ὡς δὲ τὸ δεινὸν ἔγνω τῆς ἐπιβουλῆς ἣν ἐμελέτησαν, ἐξύπνισεν τὸν βασιλέα· ὃς παρευθὺ εἰσελθὼν εἰς πλοῖον διεπέρασεν εἰς Πηγὰς, ἐάσας Ζαούτζαν καὶ πάντας ἐκεῖσε. Καὶ πρωῒ τάχιον εἰσῆλθεν εἰς τὸ παλάτιον ἐξεώσας Ἰωάννην δρουγγάριον

certamen ineunt, ipseque Simeon in fugam vertitur, vix Distræ receptus incolumis. Turci autem petierunt ab imperatore, ut captivos Bulgaros emeret: quod et fecit, missis ex urbe civibus qui pretium rependerent. Simeon Eustathii drungarii ope de pace sermonem proposuit, cui se facilem præbuit imperator: eidemque componendæ Leonem Chœrosphacten destinavit. Nicephorus cum exercitu redire in animum induxit, et Eustathius drungarius pariter. Leonem vero neque ad colloquium admittere dignatus est Simeon, imo sub custodia tenuit. Expeditione deinde adversus Turcos parata, illisque a Romanis auxilium et præsidium non habentibus, imo belli apparatu et armorum provisione destitutis, cunctos inflatis animis jugulavit Simeon, et reversus, cum Leonem in Muldagra reperisset, dixit ad eum: Nusquam pacem componam, nisi captivos omnes recepero. Imperater restituere proposuit: venitque cum Leone Theodorus Bulgarus, Simeonis domesticus, qui eos recepit. Exinde Nicephoro Phoca morte sublato, Simeon abrumpendæ pacis quærebat occasiones, et aliis captivis expetitis, adversus Romanos movit. Leo vero imperator Leonem Catacalum ad Rabdum ædes suas habentem scholarum domesticum creat, et una cum eo Theodosium patricium et protovestiarium mittit, qui simul juncti omnes, legiones et copias jubent trajicere: pugnaque cum Simeone ad Bulgarophygum inita, fuga omnium facta est horrenda, omnesque deleti sunt: inter quos patricius Theodosius cujus causa non modice doluit imperator. Ejus tempore castri Chersonis incolæ ducem proprium Simeonem Jonæ filium interemerunt: castrum etiam Corum in Cappadocia ab Agarenis captum est. Porro celebrem processum ad Damiani ædes habuit imperator, Zautza comitante, et supremam post eum potestatem exercente, et Zoe pariter ejus filia solemnitatis socia. Theophano vero ejus legitima conjux non aderat, sed in Blachernis ad sanctum sepulcrum assiduis orationibus vacabat. Imperatore igitur moram ibi agere meditato, consilium iniere Zautzæ consanguinei et filius ejus Tzantzes, nec non alii, ut imperatorem nocte occiderent. Zoe vero cum imperatore dormiens, audito murmure per fenestram prospiciens, silentium imponebat. Certior autem periculi et insidiarum facta, imperatorem excitavit, qui confestim navigium ingressus, Zautza et reliquis omnibus ibi **479** relictis, ad Pegas trajecit. Sub diluculum festinus palatium ingressus est, et Joanne excubiarum drungario ejecto, Pandum Nicolai hetæriarchæ filium suffecit. Ipse quippe Nicolaus imperatoris amicitiæ consors, quæ contra eum Zautzas machinabatur, patefecit. Et ex eo tempore non ingressus est imperator in *Zautzæ* cubi-

FRANC. COMBEFISII NOTÆ.

(67) *In mandatis acceperunt, ut*, etc. Ἐκελεύσθησαν, ait Anonym. Leone nimirum pacem componendam exspectante, in quo lusus est a Symeone.

(68) Expositio vocis βασιλεοπάτωρ. Sic Anonym.: Εἶχεν μεθ' ἑαυτοῦ καὶ τὴν Ζωὴν τὴν τοῦ Ζαούτζα θυγατέρα, καὶ αὐτὸν τὸν Ζαούτζαν.

culum, donec Leo magister et Theodotaces criminis A eos convicissent.

Moritur autem Theophano Augusta post imperii annos duodecim, quam brevi spatio temporis interjecto, operatricem miraculorum, quod zelotypiæ et injuriarum memoriæ vitio fuisset immunis, Deus ostendit : et quia eleemosynis et orationibus per sacras ecclesias assidue Deo vacasset. Coronat autem Leo imperator Zoen Zautzæ filiam, et cum ea nuptialem benedictionem subiit, clerici cujusdam e palatio cognomento Synapes ministerio. Benedictionis minister officio depositus est. Illa vero regnavit annum unum et menses octo. Zoe isti demortuæ inventus est loculus ad corpus ejus deponendum, sculptas intus scriptasque gerens B litteras istiusmodi : *Filia Babylonis misera.* Accusati sunt autem apud imperatorem Leo Musicus et Stauracius, quasi munera a duce aliquo et officialibus accepissent, ut intercessione apud imperatoris patrem eos juvarent. Stauracio itaque cum ducum alicujus libello ad Zautzam ingresso, ut eum imperator ad horologium solare stans conspexit, hominem pone secutus est, et cervice apprehensum foras eduxit. Ut de ducis negotio interrogavit hominem, ad Monothyrum traxit, et sublatis e manu tabulis, et in aerem projectis et excussis, obviis quibusdam e palatio extrudendum tradidit, et præcepit detundendum. Eo cognito, Musicus desperationis motu angebatur. Tum imperator ingressus locum, quo Musicus C Zautzæ astans consistebat, eum collo apprehensum trudens expulit, et Christophoro cubiculario inter Studitas abducendum, et monastica pœnitentia subigendum tradidit. Modico post Zautzas moritur in palatio, corpusque per Bucoleontem elatum in Caulæ monasterium ibidem sepeliendum detulerunt.

Post Zautzæ mortem, Basilius operarum regiarum præfectus Nicolai hetæriarchæ filius, Samonæ cubiculario ex Agarenorum genere orto amicitia junctus est, et imperii cupiditate exarsit. Samonæ vero mentem confidenter exposuit : Defuncta nunc Zoe matertera nostra, uxorem aliam imperator sibi copulaturus est, nosque omnes deleturus ; sed pollicere secretum, ut, quæ modo deliberantur fiden- D ter aperiam. Eo **480** Basilio secreti fidem promittente, animatus ille mentem exposuit. Samonas ad imperatorem ingressus dixit ei : Cuperem, domine mi, aliquid secreto enuntiare; quod si edixero,

τῆς βίγλας, καὶ προβαλόμενος Πάνδον (69) υἱὸν Νικολάου ἑταιριάρχου αὐτοῦ. Ὁ γὰρ Νικόλαος οὗτος συμφιλιωθεὶς τῷ βασιλεῖ κατάδηλα ἐποίει αὐτῷ πάντα τὰ τοῦ Ζαούτζα. Καὶ ἔκτοτε οὐκ εἰσήρχετο ὁ βασιλεὺς εἰς τὸ κελλίον τοῦ Ζαούτζα, ἕως ἂν Λέων μάγιστρος καὶ ὁ Θεοδοτάκης διήλεγξαν (70) αὐτούς.

Τελευτᾷ δὲ Θεοφανὼ Αὐγοῦστα βασιλεύσασα ἔτη δώδεκα· ἣν οὐ μετὰ πολλὰς ἡμέρας ἀνέδειξεν ὁ Θεὸς θαυματουργὸν διὰ τὸ ἀζηλότυπον αὐτῆς καὶ ἀμνησίκακον, καὶ διὰ τὸ ἐν ἐλεημοσύναις καὶ προσευχαῖς ἀδιαλείπτως προσκαρτερεῖν τῷ Θεῷ καὶ ταῖς ἁγίαις ἐκκλησίαις. Στέφει δὲ Λέων ὁ βασιλεὺς Ζωὴν τὴν θυγατέρα Ζαούτζα, καὶ εὐλογεῖται μετ' αὐτῆς παρὰ κληρικοῦ τοῦ παλατίου ᾧ ἐπίκλην Σινάπης. Καὶ ὁ μὲν εὐλογήσας καθῃρέθη (71). Ἡ δὲ ἐβασίλευσεν ἔτος ἕν, μῆνας ὀκτώ. Τελευτησάσης δὲ τῆς αὐτῆς Ζωῆς λάρνακα ἐφεῦρεν εἰς τὸ ἀποτεθῆναι τὸ σῶμα αὐτῆς ἔχουσαν ἔνδοθεν γράμματα κεκολαμμένα γραφέντα οὕτως· *Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος.* Διεβλήθησαν δὲ τοῦ βασιλέως Λέων τε ὁ Μουσικὸς (72), καὶ ὁ Σταυράκιος, ὡς ὅτι παρὰ τοῦ στρατηγοῦ καὶ ὀφφικιαλίων (73) λαμβάνοντες δῶρα καὶ μεσιτεύοντες πρὸς τὸν βασιλεοπάτορα. Καί ποτε εἰσελθόντος τοῦ Σταυρακίου μετὰ γράμματος πρὸς τὸν Ζαούτζαν, ὡς εἶδεν αὐτὸν ὁ βασιλεὺς ἑστὼς ἐν τῷ ἡλιακῷ, εἰσῆλθεν ὄπισθεν αὐτοῦ, καὶ κρατήσας αὐτὸν ἐκ τοῦ τένοντος ἐξήγαγεν ἔξω. Ὡς δῆθεν ἐρώτησε περὶ τὸν στρατηγὸν (74) καὶ εἰς τὸ Μονόθυρον ἀγαγὼν, καὶ τὰ γράμματα ἄρας, καὶ ἀποσφενδονήσας παρέδωκεν τοῖς παρατυχοῦσι ἐξαγαγεῖν τοῦ παλατίου, διορισάμενος ἀποκεῖραι αὐτόν. Μαθὼν δὲ τοῦτο ὁ Μουσικὸς ἐν ἀπογνώσει γέγονε. Εἰσελθὼν δὲ ὁ βασιλεὺς ἔνθα ἵστατο ὁ Μουσικὸς παρεστὼς τῷ Ζαούτζῃ, τοῦτον ἐπὶ τράχηλον ὠθήσας ἐξήγαγεν παραδοὺς Χριστοφόρῳ κοιτωνίτῃ ἐν τοῖς Στουδίου ἀπαγαγεῖν, καὶ μοναχὸν ποιῆσαι. Μετ' ὀλίγον δὲ τελευτᾷ Ζαούτζας ἐν τῷ παλατίῳ· καὶ τοῦτον διὰ τοῦ Βουκολέοντος καταγαγόντες, ἀπήγαγον ἐν τῇ μονῇ τοῦ Καυλέα, ἐκεῖσε αὐτὸν θάψοντες.

Μετὰ δὲ τὴν τελευτὴν Ζαούτζα Βασίλειος Ἐπείκτης ὁ υἱὸς Νικολάου ἑταιριάρχου συνεφιλιώθη Σαμωνᾷ κουβικουλαρίῳ τῷ ἐξ Ἀγαρηνῶν ὀρεγόμενος τοῦ τῆς βασιλείας ἀξιώματος. Ἐθάῤῥησε δὲ τῷ Σαμωνᾷ, ὅτι Τῆς θείας ἡμῶν Ζωῆς τελευτησάσης, ὁ βασιλεὺς λαβεῖν ἔχει ἑτέραν γυναῖκα, καὶ ἡμᾶς πάντας θέλει ἀφανίσαι. Ἀλλὰ δός μοι λόγον, καὶ ἵνα σοι θαῤῥήσω πάντα τὰ βουλευόμενα. Καὶ δόντος αὐτοῦ λόγον τῷ Βασιλείῳ, ἐθάῤῥησεν αὐτῷ πάντα. Ὁ δὲ Σαμωνᾶς εἰσελθὼν εἰς τὸν βασιλέα, εἶπεν αὐτῷ, ὅτι Δέσποτά μου, θέλω σοι εἰπεῖν τι ἰδίως, ὅπερ εἰ μὲν εἴπω ἀποθνήσκω· εἰ δὲ μὴ εἴπω, ἀποθνήσκεις

FRANC. COMBEFISII NOTÆ.

(69) Leg. Πάρδον, uti infra, et Anonym., ex quo statim emend., ἀντ' αὐτοῦ.

(70) Emenda ex Cedreno διήλλαξεν· *Donec Leo Theodobaces eos inter se reconciliavit.* Ubi perperam adjecta exscribenti particula καὶ, ac si essent duo viri, quod et interp. sibi confinxit.

(71) Vetito forte Leone cum ea contrahere ob præcedens adulterium; forte etiam viri Zoes homicidium, quæ monstra etiam Ecclesia Latina arcet a nuptiis.

(72) Τῷ βασιλεῖ Λέοντι ὁ Μουσικός. Sic bene Anonym., *Accusati sunt apud Leonem imperatorem Musicus.*

(73) Παρὰ τῶν στρατηγῶν καὶ ὀφφικιαλίων· quam ultimam vocem Anonym. effert, ἀρχόντων, *a prætoribus et magistratibus.*

(74) Ἐρωτήσων περὶ τῶν στρατηγῶν, *velut scilicet de prætoribus examen habiturus.*

A ποῦ. Καὶ διεξεῖπεν (75) πρὸς τὸν βασιλέα πᾶσαν τὴν τοῦ Βασιλείου ἐπιβουλήν. Ἀπιστήσαντος δὲ τοῦ βασιλέως τοῖς λαληθεῖσιν παρ' αὐτοῦ, καὶ εἰρηκότος· Μή τίς σοι ὑπέβαλεν ταῦτα εἰπεῖν μοι, καὶ ἐκ δωροδοκίας τοῦτο ἐποίησας; Ὁ δὲ εἶπεν· Ἀπόστειλον πιστούς, οὓς κελεύεις, ἐν τῷ κελλίῳ, δέσποτά μου, καὶ ἵνα εἰσὶν ἐγκεκρυμμένοι, καὶ εἴ τι ἂν ἀκούσωσι παρὰ τοῦ Βασιλείου καὶ παρ' ἐμοῦ, γράφωσι ταῦτα. Παρευθὺ δὲ ὁ βασιλεὺς ἀποστέλλει Χριστοφόρον πρωτοβεστιάριον ἅμα Καλοκύρῳ κοιτωνίτῃ· καὶ εἰσελθόντες ἐκρύβησαν ἐν τῷ κελλίῳ αὐτοῦ. Βασίλειος οὖν δελεασθείς, καὶ λαβὼν λόγον ἔνορκον παρὰ Σαμωνᾶ εἰς τὸ προσευχάδιον αὐτοῦ, ἐξεῖπεν αὐτῷ πάντα τὰ τῆς βουλῆς, καὶ τοὺς συμβουλευομένους. Ἀνιστώντων δὲ αὐτῶν (76), κατελθόντες Χριστοφόρος καὶ Καλοκῦρις ἀνέγνωσαν πάντα τῷ B βασιλεῖ. Καὶ παρευθὺ μὲν προσκαλεσάμενος Βασίλειον δέδωκεν μιλιαρίσια χιλιάδας εἴκοσι (77)· ὡς δῆθεν ψυχικὰ τῆς αὐτοῦ θείας Ζωῆς ὁρισθέντα, καὶ ἀπέστειλεν ἐν Μακεδονίᾳ· καὶ τὸν μὲν Βασίλειον οὕτω τῆς πόλεως ἐξήγαγεν· τοὺς δὲ λοιποὺς τοὺς τῆς αὐτοῦ βουλῆς μετεσχηκότας, Πάρδον μὲν δρουγγάριον τῆς βίγλας ἀποστέλλει πρὸς τὸν Στυπιώτην, δῆθεν ἀγαγεῖν αὐτόν, προμηνυθέντος ἐκείνου διὰ βασιλικοῦ πιττακίου (78) αὐτὸν δεσμῆσαι. Προφασισάμενος δὲ ὁ βασιλεὺς ἀπελθεῖν καὶ δειπνῆσαι εἰς τὸν Ἅγιον Λάζαρον εἰς τὸ καταβάσιον τοῦ Τζουκανιστηρίου (79) ἔστησεν Ἰωάννην Γαριδᾶν μετὰ τῶν λοιπῶν τῆς ἑταιρίας ἐν τῷ κουβουκλείῳ· καὶ ἐν τῷ κατέρχεσθαι τὸν βασιλέα κρατηθέντα μετὰ Ἰωάννου Νι- C κόλαον ἑταιριάρχην ἐξήγαγεν τῆς πόλεως. Ἀγαγὼν δὲ ἐκ Μακεδονίας Βασίλειον, καὶ ἀνακρίνας, καὶ τύψας, καὶ τὰς τρίχας αὐτοῦ κατακαύσας, καὶ ἐν τῇ μέσῃ θριαμβεύσας, ἐξώρισεν ἐν Ἀθήναις, καὶ κακῶς ἐκεῖσε τετελεύτηκεν. Ὡσαύτως Νικόλαον ἑταιριάρχην, καὶ Στυλιανόν, καὶ Ἰωάννην, καὶ τὴν συγγένειαν πᾶσαν Ζαούτζα, τοὺς μὲν ἀπέκειρεν, τοὺς δὲ ἐξώρισεν, δημεύσας τὰς οὐσίας αὐτῶν. Πάντας δὲ μαγίστρους καὶ τοὺς ἐν τέλει προσκαλεσάμενος ὁ βασιλεύς, ἀνέγνω κατενώπιον αὐτῶν τὰ μηνυθέντα παρὰ Σαμωνᾶ. Οἱ δὲ τοῦτον ὑπερεπῄνεσαν, ὡς τῆς ζωῆς τοῦ βασιλέως προνοούμενον, καὶ εἰρήκασιν ἄξιον εἶναι τιμῆς μεγίστης. Ὁ δὲ παρευθὺ τοῦτον πρωτοσπαθαρίου ἀξίᾳ τετίμηκεν. Ἐτελεύτησεν δὲ Στέφανος ὁ πατριάρχης· καὶ ἀντ' αὐτοῦ ἐχειροτο- D νήθη Νικόλαος ὁ πατριάρχης, μυστικὸς ὢν (80) τοῦ βασιλέως. Παρελήφθη δὲ τὸ κάστρον ἡ Δημητριὰς ἐν τῷ θέματι τῆς Ἑλλάδος ὑπὸ Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ. Λέων δὲ ὁ βασιλεὺς στέφει Ἄνναν θυγατέρα Ζωῆς, τῆς ἀπὸ τοῦ Ζαούτζη, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύπου κλητώρια, μὴ οὔσης Αὐγούστης. Ἠγάγετο δὲ ὁ βασιλεὺς κόρην ἐκ τοῦ θέματος Ὀψι-

mors me certa manet, si tacuero, tibi moriendum: confestimque Basilii conjurationem omnem enarravit. Imperatori autem narratis fidem haud adhibenti, imo dicenti: Num quis ea mihi edicere suggessit, et mercedis spe hoc fecisti? Dixit ille: Mitte, domine, quos placuerit tibi fideles in cubiculum, ut occultati, quod a Basilio et a me perceperint, cuncta describant. Confestim imperator Christophorum protovestiarium cum Calocyro cubiculario misit: et ingressi in ejus delituerunt cubiculo. Basilius itaque jam inescatus, accepta juramenti fide a Samona, ad ejus oratorium, consilium ei suum et consilii participes aperuit. Illis exsurgentibus Christophorus et Calocyres digressi cuncta imperatori perlegerunt: et confestim Basilio ad se advocato Miliarisiorum millia viginti eleemosynarum nomine in materteræ Zoes animæ levamen, velut legata tradidit, et in Macedoniam dimisit: et Basilium quidem hoc pacto urbe detrusit. Reliquos vero conjurationis consortes Pardum quidem excubiarum drungarium ad Stipiotem, quasi eum ad se vocaturum amandavit. Is tamen ut eum vinculis coerceret imperatorio brevi præmonitus fuerat. Simulans etiam imperator foras proficisci, et ad Sanctum Lazarum cœnaturum, ad Equilis descensum Joannem Garidam cum reliquis confœderatis detinuit in cubiculo; cumque imperator descenderet, cum Joanne Nicolaum hetæriarcham captum urbe eduxit. Basilium porro e Macedonia revocatum et de crimine inquisitum, verberibus subjecit, et crinibus ejus succensis, per mediam urbem traductum Athenas relegavit exsulem, ubi misere periit. Nicolaum pariter hetæriarcham et Stylianum et Joannem et Zautzæ genus omne, hos quidem detondit, alios publicatis eorum facultatibus in exsilium expulit. Magistris vero cunctisque in dignitate positis ab imperatore advocatis, quæ a Samona significata fuerant, cuncta perlecta sunt. Illi virum velut imperatoris vitæ providentem maximisque honoribus dignum pronuntiarunt; quare protospatharii dignitate confestim honoratur. Mortuus est autem Stephanus patriarcha, et in ejus locum Nicolaus imperatoris mysticus provectus. Demetrias autem oppidum ad Græciæ thema spectans, a Damiano Agareno captum est. Imperator Leo Annam
481 Zoes, quæ Zautzæ fuit, filiam imperii corona redimivit, quod deficiente Augusta, instituta ex more convivia celebrare non posset. Imperator idem ducta e themate Opsicii venustissima puella, nomine Eudocia, Augustam coronavit, et imperatricem uxoremque renuntiavit: ex ea puero masculo suscepto, mater et qui genitus fuit puer pariter obierunt.

FRANC. COMBEFISII NOTÆ.

(75) Anonym. διεξῆλθεν.
(76) Ἀριστώντων δὲ αὐτῶν. Cedr., Anon. perindeque Leo, *interim illis prandentibus*.
(77) Anonym. χιλιάδας κδ'.
(78) Editum erat, διὰ Βασιλίσκου Πιττακίου, *per Basiliscum Pittacium*, quasi essent duo nomina propria.
(79) *Ad descensum sphæristerii*; siquidem τὸ τζυκανίζειν, Acmeti est pila ludere. Sic vero ex equis ludebant; adeoque fuerit hæc quoque Circi pars, seu quid illi conjunctum.
(80) De hac voce docte P. Goar ad Codinum pag. 599, ubi etiam militare vocabulum ostendit.

Emit autem Imperator Sanctorum Apostolorum A templo vicinas ædes, in quibus prioris suæ conjugis sanctæ Theophanus sumptuosam ecclesiam construxit. Ad Topos pariter sancto Lazaro dicatam ædificavit, et virile eunuchorum monasterium esse disposuit : ad quod sancti Lazari et Mariæ Magdalenæ translatum corpus deposuit, ejusdem ecclesiæ celebrata dedicatione.

κίου ὡραιοτάτην πάνυ ὀνόματι Εὐδοκίαν, στέψας, καὶ ἀναγορεύσας, καὶ γήμας αὐτήν· ἐξ ἧς παιδοποιήσας ἄῤῥενα παῖδα, ἐφ' ᾧ τετελεύτηκεν καὶ αὐτὴ, καὶ τὸ γεννηθέν. Ἐξωνήσατο δὲ ὁ βασιλεὺς οἰκήματα πλησίον τῶν Ἁγίων Ἀποστόλων, καὶ ἔκτισεν ἐκκλησίαν περικαλλῆ ἐπ' ὀνόματι τῆς προτέρας αὐτοῦ γυναικὸς τῆς Ἁγίας Θεοφανοῦς. Ὡσαύτως ἔκτισεν εἰς τοὺς λεγομένους Τόπους τὸν Ἅγιον Λάζαρον κατασκευάσας μονὴν ἀνδρείαν εὐνούχων, ἔνθα καὶ τοῦ ἁγίου Λαζάρου σῶμα καὶ Μαρίας τῆς Μαγδαληνῆς ἀνακομίσας (81) ἀπέθετο, ποιήσας καὶ τὰ ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας.

Classe vero in ecclesiarum hujusmodi ædificiis occupata, Tauromenium Siciliæ civitas ab Afris capta est, socordia, verius dicam proditione, Eustathii, classis drungarii, et Caramali, necnon Michaelis Characti ibidem repertorum, quamplurimis B Romanorum ea in clade cæsis. Reversi in urbem, proditionis convicti a Michaele Characto, ab imperatore et patriarcha morte condemnati sunt : patriarcha vero Nicolao apud imperatorem interpellante, mors condonata : verberibusque solummodo subjecti, bonis eorum publicatis, inter monachos detrusi sunt; Caramalus in Picridii, Eustathius autem in Studii monasteria. Lemnus etiam insula ab Agarenis, pluribus ex ea captivis asportatis, occupata est. Pentecostes vero magnæ solemnibus imperatore Leone ad Sanctum Mocium, aula comitante, progresso, et ad altare ingressum celebrante, jamque soleæ proximo, egressus quidam ex ambone fustem robustum et pinguem in ejus caput impegit, C ac nisi fustis impetus obvio multifido candelabro retardatus et impeditus fuisset, eum statim de medio tulisset. Sanguine autem ex imperatoris capite largiter fluente, tumultus et procerum fuga exorta est, plurimique in ea perierunt. Alexander autem ejus frater ingressum celebraturus non advenit, morbum prætexens : ex quo insidiarum hujusmodi auctorem eum exstitisse suspicio nata est. Samonas pariter aberat : imo Zoem in palatium conducturus discesserat. Apprehensus igitur qui percusserat imperatorem, et examinatus, pœnas plurimas et tormenta in dies aliquot prolata sustinuit, et ut nullum conjurationis participem confessus est, manibus et pedibus demum præcisis, ad Circi metam combustus est : et ex tunc processus istiusmodi abrogata 482 est solemnitas. Aliquo D deinde tempore interjecto Marcus, ejusdem ecclesiæ sapientissimus œconomus, qui magni Sabbati Tetraodium hymnum a domino Cosma inceptum perfecit, mensæ cum imperatore accumbens, ne solemnitatem imminueret, rogabat. Imperatore renuente, ait Marcus : A propheta Davide hoc te,

Ἀσχολουμένου δὲ τοῦ στόλου εἰς τὰ κτίσματα τῶν τοιούτων ἐκκλησιῶν, παρελήφθη ἐν Σικελίᾳ τὸ Ταυρομένιν ὑπὸ τῶν Ἄφρων, τῇ ἀμελείᾳ, μᾶλλον δὲ προδοσίᾳ Εὐσταθίου δρουγγαρίου τῶν πλωΐμων, καὶ Καραμάλου ἐκεῖσε ὄντος, καὶ Μιχαὴλ τοῦ Χαράκτου, γενομένης πολλῆς σφαγῆς τῶν Ῥωμαίων. Ἀνελθόντων δὲ αὐτῶν ἐν τῇ πόλει, παρά τε τοῦ βασιλέως καὶ τοῦ πατριάρχου, ἐλεγχθέντων παρὰ Μιχαὴλ τοῦ Χαράκτου, ὡς προδοτῶν, κατεκρίθησαν θανάτῳ· παρακληθέντος δὲ τοῦ βασιλέως παρὰ Νικολάου τοῦ πατριάρχου, τὸν θάνατον συνεχωρήθησαν· τυφθέντες δὲ μόνον, καὶ δημευθέντες, καὶ ἀποκαρέντες μοναχοὶ, ὁ μὲν Καράμαλος εἰς τὰ Πικριδίου, ὁ δὲ Εὐστάθιος εἰς τὴν μονὴν τῶν Στουδίου. Παρελήφθη δὲ καὶ ἡ Λῆμνος ἡ νῆσος ὑπὸ τῶν Ἀγαρηνῶν αἰχμαλωσίαν πολλὴν πεποιηκότων. Ἐν τῇ προελεύσει δὲ τῆς μεγάλης Πεντηκοστῆς (82) τοῦ βασιλέως Λέοντος ἀπελθόντος εἰς τὸν Ἅγιον Μώκιον καὶ εἰσοδεύοντος, ὅτε ἦλθεν πλησίον τῆς σολέας, ἐξελθών τις ἐκ τοῦ ἄμβωνος δέδωκεν αὐτὸν κατὰ κεφαλῆς μετὰ ῥάβδου ἰσχυρᾶς καὶ παχείας. Καὶ εἰ μὴ ἡ φορὰ τῆς ῥάβδου εἰς πολυκάνδηλον ἐμποδισθεῖσα διεχαυνώθη, παρευθὺ ἂν τοῦτον ἀπήλλαξεν. Τοῦ δὲ αἵματος σφοδρῶς καταῤῥέοντος ἐκ τῆς τοῦ βασιλέως κεφαλῆς, ταραχή τε καὶ φυγὴ τῶν ἀρχόντων γέγονεν· καὶ πολλοὶ ἐν ταύτῃ ἀπώλοντο. Ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος προεφασίσατο νοσηλεύεσθαι, καὶ οὐ κατῆλθεν ἐν τῇ εἰσόδῳ, ὡς ἐκ τούτου ὕποπτον αὐτὴν γενέσθαι τὴν τοιαύτην ἐπιβουλὴν αὐτὸν κατασκευάσαι. Οὔτε ὁ Σαμωνᾶς παρῆν ἐκεῖ, ἀλλ' ἦν ἀπελθὼν ἀγαγεῖν Ζωὴν ἐν τῷ παλατίῳ. Κρατηθέντος δὲ τοῦ δόντος τὸν βασιλέα, καὶ ἐξετασθέντος, καὶ πολλὰς βασάνους καὶ τιμωρίας ὑπομεμενηκότος ἐπὶ πολλὰς ἡμέρας, ἐπεὶ μηδένα καθωμολόγει, τέλος ἐκκοπεὶς αὐτοῦ χεῖρας καὶ πόδας ἐκάη ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ· καὶ ἔκτοτε ἐξεκόπη ἡ τοιαύτη προέλευσις. Μετὰ δέ τινα καιρὸν ἀνῆλθεν Μάρκος ὁ φιλοσοφώτατος, οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας ὢν, ὃς ἦν ἀναπληρώσας τοῦ μεγάλου Σαββάτου τετραῴδιον τοῦ κυρίου Κοσμᾶ· καὶ ἐν τῇ τραπέζῃ τῷ βασιλεῖ συνεστιώμενος ἐξελιπάρει τὸν βασιλέα μὴ ἐκκοπῆναι τὴν ἑορτὴν (83). Τοῦ δὲ

FRANC. COMBEFISII NOTÆ.

(81) Addit Cedr. ἐξ Ἐφέσου, ubi nempe creditus S. Mariæ Magdalenæ tumulus, uti Lazari in Cypro.

(82) Emend., τῆς Μεσοπεντηκοστῆς. Est hic dies Christi disputationis memoria, assertaque illi divinitatis Græcis celebris medio tempore Pascha inter et Pentecostem, in quem laudatorios sermones *Auct.* tom. I produxi. Sic aperte Continuator, Leonisque cod. quidquid ex eo male exscriptum sit : quo forte modo erratum ignoratione vocis in Cedreno, ubi editum Πεντηκοστῆς. Plura enim nescivisse legere ex suo codice eum, qui primo edidit, liquet : unde et stomachum facit, quod nulla majori collatione cum mss. codd. exque iis emend., a nostris recusus est.

(83) Clarius Anonym., τὴν τοιαύτην προέλευσιν, *ne ejusmodi processus solemnia abrogaret.*

βασιλέως ἀπαναινομένου ἔφη ὁ Μάρκος, ὅτι Προγεγραμμένον ἦν παρὰ τοῦ προφήτου Δαβὶδ τοῦ παθεῖν σε τοῦτο, ὦ δέσποτα, [*add.* καὶ] προεφήτευσεν εἰπών· *Ὅσα ἐπονηρεύθη ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου· καὶ, Ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς·* καὶ δεῖ σε ἀπὸ τοῦ νῦν, ὦ δέσποτα, κρατῆσαι τὴν βασιλείαν ἔτη δέκα· ὃ δὴ καὶ γέγονεν. Τῇ γὰρ αὐτῇ ἡμέρᾳ ἐν ᾗ καὶ ἔλαβεν, ἐν ταύτῃ τελευτᾷ. Ἦν δὲ Ζωὴ ἡ τετάρτη γυνὴ τοῦ βασιλέως ἐν τῷ παλατίῳ μετὰ τοῦ βασιλέως ἄστεπτος (84).

Τοῦ δὲ βασιλέως πρόκενσον ποιησαμένου εἰς τὸ ἐμπόριον τῶν Βωτίου (85) πρὸς τὸ ἐγκαινίσαι τὴν μονὴν Χριστοφόρου πρωτοβεστιαρίου αὐτοῦ ἦλθεν ἀγγελία, ὡς ὅτι ὁ στόλος τῶν Ἀγαρηνῶν ἅμα τῷ Τριπολίτῃ ἀνέρχονται κατὰ Κωνσταντινούπολιν [Κωνσταντινουπόλεως]. Ἀποστέλλει οὖν ὁ βασιλεὺς Εὐστάθιον δρουγγάριον τῶν πλωΐμων μετὰ παντὸς τοῦ στόλου καὶ τῶν στρατηγῶν κατὰ τοῦ Τριπολίτου. Οἱ μὴ δυνηθέντες ἀντιπαρατάξασθαι, ἀπεστράφησαν κενῶς. Ἦλθεν δὲ ἔμπροσθεν αὐτῶν (86), καὶ εἰσῆλθεν μέχρι Παραίου. Τοῦτο μαθὼν ὁ βασιλεὺς ἐν μεγάλῃ ἀθυμίᾳ γέγονεν, καὶ ἀποστέλλει Ἱμέριον πρωτασηκρῆτιν κεφαλὴν τοῦ στόλου κατὰ τοῦ Τριπολίτου, μὴ τολμώντων μηδόλως [ἀλλὰ μηδ' αὐτὸς ἐτόλμησεν] πλησιάσαι τῷ στόλῳ τῶν Ἀγαρηνῶν. Τοῖς δὲ τοῦ Θεοῦ κρίμασιν ἀπεστράφη ὁ αὐτὸς Λέων Τριπολίτης, καὶ ἀπῆλθεν ἐν Θεσσαλονίκῃ, καὶ ταύτην ἐπολιόρκησεν, καὶ παρέλαβεν ἅμα τῷ στρατηγῷ αὐτοῦ Λέοντι τῷ Χατζιλικίῳ· καὶ ποιήσας [ἐποίησεν] πολλὴν σφαγὴν καὶ αἰχμαλωσίαν. Ῥοδοφύλις [Ῥοδοφύλης] δέ τις κουβικουλάριος ἦν ἀποσταλεὶς ἐν Σικελίᾳ διὰ χρείαν τινὰ ἔχων μεθ' ἑαυτοῦ χρυσίου λίτρας ἑκατόν. Νοσήσας δὲ κατὰ τύχην ἐν τῇ ὁδῷ εἰσῆλθεν ἐν Θεσσαλονίκῃ πρὸς τὸ λούσασθαι, καὶ ἀνακτήσασθαι ἑαυτόν· καὶ ἐκρατήθη παρὰ Λέοντος (87), καὶ πολλὰ βασανισθεὶς ἐτελεύτησεν. Διερχόμενος Συμεὼν πρωτασηκρῆτις ὁ μετὰ ταῦτα γεγονὼς πατρίκιος καὶ πρωτασηκρῆτις ἀνελάβετο τότε χρυσίον, καὶ τὰ δῶρα, ἅπερ εἴασεν Ῥοδοφύλης ἐν τῇ ὁδῷ. Τοῦ δὲ Τριπολίτου βουλομένου τὴν πόλιν καταστρέψαι μαθὼν Συμεὼν δηλοῖ αὐτὸν λαβεῖν χρυσίον, καὶ ταύτην ἐᾶσαι. Ὃν καὶ πείσας, καὶ λαβὼν λόγον συνεφώνησεν δοῦναι χρυσίον τῷ Τριπολίτῃ, τοῦ τὴν πόλιν ἐᾶσαι· ὃ δὴ καὶ γέγονεν. Σαμωνᾶς δὲ προφασισάμενος ἐπὶ τὴν μονὴν αὐτοῦ τὰ Σπεῖρα ἐξελθεῖν τὴν ἐν τῷ Δαματρῦ οὖσαν, φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ ἵπποις αὐτοῦ, τοὺς ἵππους τοὺς δημοσίους ἀγκυλοκοπῶν. Τοῦτο μαθὼν ὁ βασιλεὺς ἐπιστέλλει ὄπισθεν αὐτοῦ Βασίλειον ἑταιριάρχην τὸν Καματερὸν, καὶ Γεώργιον τὸν Κρινίτην, τοῦ καταλαβεῖν αὐτόν. Τοῦ δὲ Σαμωνᾶ τὸν Ἅλυν

A domine, passurum prædictum erat; prænuntiavit etenim : *Quanta malignatus est inimicus in sancto tuo :* et, *Gloriati sunt qui oderunt te in medio solemnitatis* [a]. Ex hoc vero temporis momento annos adhuc decem te, domine, imperium tenere necesse est : quod ita contigit : eo namque die, quo plagam accepit, eodem pariter obiit. Zoe vero, quarta imperatoris conjux, in palatio nondum imperii corona redimita degebat.

Imperatore ad Botii portum, ut monasterii a Christophoro protovestiario constructi dedicationem celebraret, solemnem processum et comitatum ducente, Agarenorum classem una cum Tripolita adversus Constantinopolim accedere nuntius B significavit : quare classis drungarium Eustathium cum navalibus copiis ducibusque imperator amandat, qui cum vires adversas opponere non valuissent, infecta re domum redierunt : præcesserat ipse Eustathius redux, et ad Paræum jam penetraverat. Quo cognito imperator magno mœrore affectus Himerium a secretis præcipuum classis exercitum adversus Tripolitam delegat : sed neque ipse ad Agarenorum classem accedere ausus est. Secreto vero Dei judicio Leo Tripolita faciem vertit, et Thessalonicam versus abiit, obsessamque una cum civitatis duce Leone Chatzilicio, plurima strage edita, captivisque abductis, in potestatem accepit. Rodophyles autem quidam cubicularius ob necessi- C tatem quampiam delatis secum auri libris centum Siciliam missus fuerat : per viam vero fortuita ægritudine correptus balnearum commoditate usurus, et vires recepturus, Thessalonicam diverterat : qui etiam a Leone captus multisque excruciatus tormentis mortuus est. Porro Simeon, secretariorum princeps, qui deinde patricius, et una a secretis primus exstitit, iter agens prædictum aurum et munera per viam a Rodophyle relicta, penes se receperat. Tripolitæ vero Thessalonicensem urbem evertere cogitanti significat Simeon, ut aurum accipiat, et urbem liberet. Eo persuaso, et fide data de auro Tripolitæ dando, deque urbe servanda convenit : quod ita præstitum est. Samonas autem, monasterii **483** cui nomen Spira ad Damatrym D exstructi visitandi prætextu, divitiis et equis propriis secum abductis fuga usus est, et equis publicis omnibus poplitum nervos succidit. Eo cognito, imperator Basilium Camaterum hetæriarchem et Georgium, Crinitem fugientem insecuturos et apprehensuros misit. Samonam vero Alym flu-

[a] Psal. LXXIII, 3 et 4.

FRANC. COMBEFISII NOTÆ.

(84) Cedr. ἐδίω χρόνον συχνὸν μετ' αὐτοῦ ἀστεφής. *Diu cum eo vixit nondum donata nuptiali corolla*, aut, *celebratis cum eo nuptiis :* de hac enim, non de imperiali corona sermo est, quidquid sibi interpres indulserit ; de qua etiam postmodum subditur, deposito ministro qui coronare præsumpsisset, ipsoque Leone sacris prohibito : abhorrente scilicet a quartis nuptiis Græca pietate, quæ vix tertias indulget.

(85) Anonym. Βουτίου, Cedr. Βοαιτίου.

(86) Emend. ex Anonym. et Cedr. pleniora hæc repræsentantibus, ἦλθεν δὲ ὄπισθεν αὐτῶν, *eos insecutus est Tripolita, et ad*, etc.

(87) Nempe in negatione quæsiti auri : tum sequatur de Symeone, qui nactus illud aurum, eo Thessalonicæ excidium redemit.

vium trajicere paratum Nicephorus drungarius nomine Caminas deprehendit, nec transmeare permisit. Samonas multa licet pollicitus, cum virum movere non posset, ad pretiosam Sirichorum crucem confugit, fidei, quam ad ipsam habebat, gratia se venisse simulans. His ita gestis, Constantinus ducis filius prospere advenit, et eo secum assumpto, in urbem reduxit : quem imperator in Bardæ Cæsaris æde custodiri jussit. Porro Constantinum ducis filium de eo interrogavit : agnitoque ejus vero in Syriam recessu, ne hoc coram senatu enuntiaret, si quandoque interrogaretur, commendavit : ac tantum orationis ergo ad Siricha faciendæ discessisse affirmaret. Cupiebat enim imperator hominem sibi reconciliare. Constantinum itaque coram proceribus advocans, ait : Ita Deum capitisque mei salutem diligis : fugit Samonas annon ? Ille vero, ut prius, imperatorem, ne adjuraretur, rogaverat, et quæ jubebatur promiserat exsequi, juramenti vi compulsus, coram omnibus enuntiavit : In Syriam vere fugiebat : eoque tunc cum furore ab imperatore retro amandato, Samonas in Bardæ domo menses quatuor peregit, et anno die quo imperator potestatem accepit redeunte, reconciliatus est. Tunc apparuit cometes radios versus Orientem ejaculans, et dies noctesque quadraginta conspicuus permansit.

E Zoe vero quarta conjuge Constantinum filium Leo suscepit, qui Luminum festo a Nicolao patriarcha in Magna ecclesia, suscipientibus puerum e fonte Alexandro imperatore, Samona patricio, et proceribus cunctis, baptizatus est. Contigit autem imperatorem cum Zoe festo istiusmodi celebrato benedictionem nuptialem a Thoma presbytero suscipere, qui eam ob rem officio depositus est. Eamdem vero Zoem Augustam declaravit imperator, quem eapropter ecclesiæ liminibus patriarcha prohibuit : ut exinde pariter dextera ecclesiæ parte, via consueta penitus relicta, ad Mitatoricium usque pertransiret. Samonas deinde accubitor provectus est, quod ad omne facinus et pravitatem imperatori manum præberet auxiliarem : et adversus Ecclesiam cœperunt meditari. Vocatum quippe ad se Nicolaum **484** patriarcham Februarii die primo precibus instabant ut in ecclesiam reciperentur : ut vero flectere non potuerunt, a convivio publico, ad quod vocatus fuerat ejectum, et per Bucoleontem ductum, lintrique impositum, in Hieriam trajecerunt, e qua pedes ad Galacrenos usque

A βουλομένου διαπεράσαι κατέλαβεν αὐτὸν Νικηφόρος δρουγγάριος ὁ λεγόμενος Καμινᾶς, οὐκ ἐῶν αὐτὸν διαπερᾶσαι. Ἐπεὶ δὲ ὁ Σαμωνᾶς πολλὰ ὑπισχνεῖτο καὶ οὐκ ἔπειθεν, προσέφυγεν εἰς τὸ Σιριχὰ [*inferius* Σίριχον] εἰς τὸν τίμιον σταυρὸν, προφασισάμενος, ὡς διὰ πίστιν τοῦ σταυροῦ ἐληλύθει. Καταλαβὼν οὖν Κωνσταντῖνος ὁ τοῦ δουκὸς, καὶ τοῦτον ἀναλαβόμενος, ὑπέστρεψεν ἐν τῇ πόλει. Προσέταξεν δὲ ὁ βασιλεὺς αὐτὸν μὲν φυλάττεσθαι ἐν τῇ οἰκίᾳ Βάρδα τοῦ Καίσαρος· ἠρώτησεν δὲ Κωνσταντῖνον τοῦ δουκὸς περὶ αὐτοῦ. Καὶ μαθὼν πῶς ἀληθῶς ἐν Συρίᾳ ἔφευγεν, παρηγγύησεν τῷ δουκὶ μὴ εἰπεῖν τοῦτο ἐνώπιον τῆς συγκλήτου, ὅτε παρ' αὐτῆς ἐρωτηθῇ (88)· ἀλλ' ὅτι δι' εὐχὴν ἀπῆλθεν ἐν τῷ Σιρίχῳ. Ἤθελεν γὰρ ὁ βασιλεὺς ἀποσυναφισθῆναι αὐτῷ. Προσκαλεσάμενος B οὖν Κωνσταντῖνον τοῦ δουκὸς ἔμπροσθεν τῶν ἐν τέλει, ἔφη· Οὕτως ἔχεις Θεὸν, καὶ τὴν κεφαλήν μου· ἔφευγεν ὁ Σαμωνᾶς, ἢ οὐχί; Ὁ δὲ ὡς εἶπεν πρότερον τῷ βασιλεῖ μὴ ὁρκισθῆναι, καὶ τὸ κελευόμενον εἰπεῖν, ἀκούσας τοὺς ὅρκους ἐξεῖπεν ἐνώπιον πάντων, ὅτι Εἰς Συρίαν ἔφευγεν. Μετ' ὀργῆς δὲ τοῦ βασιλέως τοῦτον ἀποπεμψαμένου, ἐποίησε Σαμωνᾶς μῆνας τέσσαρας ἐν τῷ οἴκῳ τοῦ Βάρδα. Ἀπεσυνάψισεν δὲ ἐν τῇ αὐτοκρατορίᾳ τοῦ βασιλέως (89). Ἐφάνη δὲ τότε καὶ ὁ κομήτης ἀστὴρ τὰς ἀκτῖνας ἐπὶ ἀνατολὴν πέμπων, καὶ φαινόμενος ἐν ἡμέραις καὶ νυξὶ τεσσαράκοντα.

Ἐγέννησεν [*add.* δὲ] Λέων υἱὸν Κωνσταντῖνον ἀπὸ Ζωῆς τῆς τετάρτης αὐτοῦ γαμετῆς. Ἐβαπτίσθη δὲ τὰ ἅγια Φῶτα ὑπὸ Νικολάου πατριάρχου ἐν τῇ Με- C γάλῃ Ἐκκλησίᾳ δεξαμένων αὐτὸν Ἀλεξάνδρου βασιλέως καὶ Σαμωνᾶς πατρίκιος [Σαμωνᾶ πατρικίου], καὶ τῶν ἐν τέλει πάντων· γέγονε δὲ τὸν βασιλέα εὐλογηθῆναι μετὰ Ζωῆς μετὰ τὴν ἑορτὴν παρὰ Θωμᾶ πρεσβυτέρου, ὃς καθῃρέθη. Ἀνηγόρευσε δὲ τὴν αὐτὴν Ζωὴν εἰς Αὐγοῦσταν. Καὶ διὰ τοῦτο τὸν βασιλέα ὁ πατριάρχης εἰς τὴν ἐκκλησίαν ἐκώλυσεν εἰσέρχεσθαι· ὅθεν διήρχετο ἀπὸ τοῦ δεξιοῦ μέρους μέχρι τοῦ μιτατορικίου, μηδόλως εἰς τὰ κατὰ συνήθειαν διερχόμενος. Προεβλήθη δὲ Σαμωνᾶς παρακοιμώμενος διὰ τὸ εἶναι τῷ βασιλεῖ συνεργὸς πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν, καὶ κατὰ τῆς Ἐκκλησίας ἤρξατο [ἤρξαντο] μελετᾷν. Προσκαλεσάμενοι γὰρ Νικόλαον πατριάρχην Φεβρουαρίου πρώτῃ, καὶ πολλὰ λιπαρήσαντες δεχθῆναι, ἐπεὶ πεῖσαι οὐκ ἠδυνήθησαν, ἀπὸ D τοῦ κλητορίου διὰ τοῦ Βουκολέοντος ἐν πλοίῳ μικρῷ ἐμβιβάσαντες, διεπέρασαν ἐν τῇ Ἱρίᾳ [Ἱερείᾳ] ἀφ' ἧς πεζῇ μέχρι Γαλακρηνῶν μόλις ἀπῄει, χιόνος (90) ἐπικειμένης πολλῆς. Χειροτονεῖται δὲ ἀντ' αὐτοῦ

FRANC. COMBEFISII NOTÆ.

(88) Ὅτε παρ' αὐτοῦ ἐρωτηθῇ, *cum ab eo interrogaretur;* sub præsentia scilicet senatus, non a senatu; ut male expressum ac redditum.

(89) Horum interpretem alium nolim quam Vat. Continuatorem, ex quo sic Leonem scripsisse omnino conjicio, ἀπὸ συνόψεως ἐν τῇ κουρατωρίᾳ τοῦ βασιλέως. *Egit menses quatuor aula exclusus in Bardæ domo, quæ imperatoris peculii ac fisci privati erat.* Sic nempe confecto Barda, eas sibi ædes Basilius addixerat : hocque est κουρατωρία, uti videre est p. 412 et 504. Mirum quam excedant quæ sibi interpres commentus est. Vide et notata pag. 474, ubi et relata Anonymi verba quibus hic nitor. Vox μητατορίκιον P. Goar explicata in Euchologio, et apud Cedr.

(90) Cedr. χρόνου legit, cum sic effert, οὐ πολὺς παρῆλθε καιρός, *brevi interjecto tempore ordinatur Euthymius.* Etiam Anonym., χρόνου δὲ ἐπικειμένου πολλοῦ, ubi restituenda negatio ex allato Cedr.

Εὐθύμιος σύγκελλος ἀνὴρ ἱεροπρεπὴς, ἐγκρατής τε καὶ εὐλαβὴς πάνυ· ὃν φασι καταδέξασθαι τοῦτο ἐκ θείας ἀποκαλύψεως, ὡς τοῦ βασιλέως βουλευομένου αἵρεσιν καὶ νόμον ἐκθεῖναι, τοῦ ἔχειν ἄνδρα (91) τρεῖς γυναῖκας ἢ τέσσαρας· πολλῶν εἰς τοῦτο λογιωτάτων ἀνδρῶν συνεργούντων αὐτόν [αὐτῷ]. Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ ἐν τῷ Μερδοσαγάρῃ τοῦ τε ποιῆσαι τὰ ἐγκαίνια καὶ ἀριστῆσαι. Καὶ γέγονεν ἄνεμος ὁ λεγόμενος Λὶψ, ἕως τρίτου σφοδρῶς φυσήσας, συσσείσας τε καὶ δονήσας οἰκήματα καὶ ἐκκλησίας, ὥστε πάντας φεύγειν ἐν ὑπαίθροις τόποις λέγοντας συντέλειαν κοσμικὴν εἶναι, εἰ μὴ ἡ τοῦ Θεοῦ φιλανθρωπία δι' ὄμβρων ἔπαυσεν τὴν τοιαύτην θραῦσιν.

A nive multa delibutus pervenit. In ejus locum Euthymius syncellus vir gravis, temperantia et pietate insignis, suffectus est : quem dicunt divina revelatione id muneris suscepisse. Volebat enim imperator hæresim et legem ponere, qua virum tres quatuorve uxores ducere liceret, pluribus doctissimis viris ad id opem conferentibus. Junio autem mense imperator Leo a Constantino Libe in monasterium ad Merdosagarem positum, ut ejus dedicationem celebraret, et adesset convivio, vocatus est. Posthæc ventus nomine Africus per dies tres invaluit vehementissime spirans, concutiens, et evertens domos : adeo ut omnes ad loca subdivalia fugerent, et mundi finem adventasse cogitarent : nisi Deus sua in homines benignitate concussionem hujus-
B modi placandam jussisset

Προεβάλετο δὲ ὁ βασιλεὺς Ἱμέριον λογοθέτην τοῦ δρόμου κεφαλὴν πάντων τῶν πλωΐμων, ἐξελθόντος τοῦ στόλου τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων. Ἐδέξατο δὲ καὶ Ἀνδρόνικος ὁ δοὺξ διὰ κελεύσεως συνελθεῖν Ἱμερίῳ λογοθέτῃ ἐν τοῖς πλοίοις, καὶ καταπολεμῆσαι τοὺς Ἀγαρηνούς. Ὁ δὲ Σαμωνᾶς ἦν ἀδιάλλακτος ἐχθρὸς τοῦ Ἀνδρονίκου, καὶ πολλὰ κατ' αὐτοῦ διηνεκῶς συνεσκεύαζεν, καὶ ἐμηχανᾶτο κακῶσαι τὸν Ἀνδρόνικον παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ διαμηχανώμενος ἀπὸ τῆς αὐτοῦ φυγῆς. Ὑπέβαλε δέ τινι γράψαι τῷ Ἀνδρονίκῳ κρύφα· Μὴ εἰσέλθῃς εἰς τὰ καράβια, καὶ κρατηθῇς παρὰ Ἱμερίου. Ὁ γὰρ Σαμωνᾶς ὑπέθηκε τῷ βασιλεῖ τοῦ κρατηθῆναί σε, καὶ τυφλωθῆναι παρ' αὐτοῦ. Πολλὰ δὲ προτρεπομένου Ἱμερίου Ἀνδρόνικον εἰσελθεῖν ἐν τοῖς πλοίοις κατὰ τῶν Ἀγαρηνῶν (92) ἐπικειμένων [*add.* οὐκ ἠθέλησεν]. Ἱμέριος δὲ μόνος ἐν ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν μεγάλην νίκην εἰργάσατο. Τοῦτο μαθὼν Ἀνδρόνικος ἀπογνοὺς ἅμα συγγενέσιν αὐτοῦ ἀπελθὼν ἐκράτησεν κάστρον τὴν Κάβδαλαν, εἰς τελείαν ἀποστασίαν ἐλθών· ὡς εἰπεῖν καὶ Σαμωνᾶν πρὸς τὸν βασιλέα· Οὐκ ἔλεγον, ὦ δέσποτα, ἀντάρτην εἶναί σου τὸν δοῦκα; Παρευθὺ ἀπέστειλεν ὁ βασιλεὺς Γρηγορᾶν δομέστικον τῶν σχολῶν τὸν λεγόμενον Ἰβηρίτζην συμπένθερον ὄντα Ἀνδρονίκου, καταπολεμῆσαι αὐτόν. Μαθὼν δὲ τοῦτο Ἀνδρόνικος, καὶ ὡς ὁ πατριάρχης Νικόλαος τῆς ἐκκλησίας ἐξεώθη, προσέφυγεν τοῖς Ἀγαρηνοῖς, ἅμα τοῖς συγγενέσι, καὶ τέκνοις, καὶ τοῖς φίλοις ἐξεληλυ-

Imperator autem Himerium, cursus publici logothetam, classis totius caput instituit. Agarenorum vero navali exercitu adversus Romanos moto, Andronicus dux, ut se in navibus Himerio logothetæ adjungeret, et Agarenos oppugnaret, jussus est. Quo tempore Samonas in Andronicum implacatus perseverabat, multaque adversus eum comminiscebatur, et omnibus modis omnique studio Andronico molestiam inferre, ex qua fugam ipse arripuerat, meditabatur. Suggessit autem cuidam qui scriberet Andronico secreto : Ne naves ingrediaris, ne forte capiaris ab Himerio. Samonas enim suggessit imperatori, ut ab eo comprehensus, oculos amitteres.
C Himerio exinde Andronicum pluribus adhortante, ut classis adesset comes, et cum Agarenis jam imminentibus decertaret, non admisit. Himerius igitur solus die sancti Thomæ, inito cum Agarenis prælio, magnam reportavit victoriam. Quo audito, in desperationem adductus Andronicus, in extremam defectionem præcipitatus, consanguineis fugam comitantibus, castrum Cabbalam occupavit : ex quo Samonas imperatori improperabat : Nonne prædixeram, domine, ducem adversum te rebellionem meditari ? Statim ergo misit imperator Gregoram scholarum domesticum, cognomento Hiberitzen, Andronici consocerum, ut eum debellaret. Quod cum didicisset Andronicus, et Nicolaum patriarcham ab ecclesia pulsum esse, una cum affini-
D bus et natis et amicis fortunæ comitibus 485 ad

FRANC. COMBEFISII NOTÆ.

(91) Anonym., τοῦ ἔχειν γυναῖκα ἄνδρας. Quid si utrumque sancire voluit, pariaque voluit feminæ virique jura : *tum nimirum virum tres, quatuorve, uxores posse ducere, tum uxorem totidem viros.* Non κατὰ ταυτόν, *simul et semel*, quod male adjecit Cedr. (ineptum hoc opinari de viro alioqui sapiente, ac probe Christiano, cui et doctissimi viri astipularentur, ut ipse fatetur Leo; nempe Occidentales qui non respuunt quartas nuptias, aliique iis addicti, ac sanioris mentis, quos non lateret Romani maxime pontificis auctoritas dispensandi in iis, quæ sunt juris duntaxat ecclesiastici, nec id universalis, sed peculiaris in Oriente, uti istud de tertiis, et quartis nuptiis vetitis), sed ita ut defunctis aliæ aliis succederent, sive etiam alii aliis : lege illa universali præsidium quærens quartis illis suis nuptiis, quarum nomine Nicolaus patriarcha anathemate ferierat; adeoque scripserit Cedrenus quod et Curopalata, κατ' αὐτόν, *perinde ac ipse*; qui sic quatuor uxores duxerat. Hæresim vocat Leo, uti fere Græci calentiores, quidquid etiam eorum disciplinæ adversatur, nedum quod catholicæ fidei contrarium est.

(92) Delenda vox μετά, ac suppl. ex Anonymo, ἀπεσκίρτησε, μὴ τοῦτο ποιῆσαι καταδεξάμενος· *Andronicus resiliit, nec rem præstare in animum induxit.*

Agarenos, qui tum adversus Romanos moverant, transiit : qui etiamnum a Magno Amerumne susceptus est.

Andronici vero causa tristabatur imperator, et libello subscriptione propria munito ut hominem revocaret, frequenter meditatus fuerat. Quod et Theophilus Emmanuelis gratia effecit. Consulebant autem quidam imperatori, ut Saracenorum prætorio detentorum aliquem sibi conciliaret, quem postmodum mitteret in Syriam cum subscripto veniæ concessæ libello. Hunc ergo paravit imperator, rubrisque inscriptis litteris, et aurea munitum bulla intra brevem fusum cereum inclusit. Saracenum vero ab imperatore discedentem vocavit Samonas, et dixit ei : Nosti quid geras (illud propter cereum insinuavit)? Syriæ perniciem tecum defers. Et pecuniis muneribusque eidem collatis Uzeris manibus reponere suasit. Digressus ille, quod commendatum fuerat, præstitit. Detentus est itaque Andronicus, et cum consanguineis omnibus in vincula conjectus. Cumque hæc Samonæ dolo in se gesta comperisset, necessitate adactus, ipse sociique fidem negavere. Ex illo tempore Constantinus ejus filius et amicorum reliqui Andronicum regredi posse nullatenus licitum scientes, soli fuga usi (quod mirum fuit) ex Syria in Romaniam reversi sunt : et per varia loca diversis calamitatibus agitati, vix pauci cum Constantino ejus filio incolumes evaserunt. E Tarso denique venit in urbem Abalbaces senior, et Samonæ pater de mutandis captivis tractatum habituri. Hos imperator in conspectum admisit, et cum humanitate summa, honore et gloria in Magnaura excepit. Magnam autem ecclesiam sumptuoso decoravit ornatu, omniaque pretiosa vasa Agarenis ostendit, quod indignum imperatoriæ et Christianæ institutionis exstitit, sacra Dei vasa a gentilibus conspici. Samonæ vero pater cum imperatore et filio moram tenere et in Romania manere expetebat. Samonas autem exhortabatur, dicens : Tene quam habes fidem : si enim potuero, in partes tuas deficiam. Die porro Pentecostes Leo filium suum Constantinum Euthymii patriarchæ ope imperii corona ornavit. Cæterum Samonas dedit in ministerium Zoe Augustæ Constantinum hominem suum, qui prius Basilio magistro et Caniclei præfecto ministraverat. Qui deinde Leoni imperatori et Augustæ charissimus exstitit. Qua de causa in hominem Samonas ferebatur invidia, et consuetudinis accusabat cum Augusta. Quod quidem imperator suspicatus, ejusdem Samonæ ope in sancti

A θόσι τότε κατὰ Ῥωμαίων. Καὶ ὑπεδέχθη παρὰ τῷ Ἀμερυμνῇ μεγάλῳ (93).

Ἐλυπεῖτο δὲ Λέων ὁ βασιλεὺς διὰ τὸν Ἀνδρόνικον, καὶ πολλάκις ἐβουλεύετο ἀποστεῖλαι αὐτὸν [αὐτῷ] λόγον ἐνυπόγραφον. Ὃ καὶ Θεόφιλος διὰ τὸν Μανουὴλ ἐποίησεν. Συνεβουλεύσαντο δέ τινες τῷ βασιλεῖ φιλοφρονηθῆναί τινα τῶν τοῦ πραιτωρίου Σαρακηνῶν καὶ ἀποσταλῆναι ἐν Συρίᾳ μετὰ λόγου ἐνυπογράφου. Τοῦτο δὴ καὶ πεποίηκεν ὁ βασιλεὺς γράψας διὰ κιναβάρεως, καὶ ἀποστείλας μετὰ χρυσοβουλλίου ἔνδοθεν φατλίου βραχέως τρακτοῦ (94). Ἐξελθόντος δὲ τοῦ Σαρακηνοῦ ἀπὸ τοῦ βασιλέως προσκαλεσάμενος Σαμωνᾶς, εἶπεν αὐτῷ· Οἶδας τί κρατεῖς (τοῦτο εἰπὼν διὰ τὸν κηρόν); τὴν ἀπώλειαν
B τῆς Συρίας. Καὶ δοὺς αὐτῷ χρήματα καὶ δῶρα παρήγγειλεν τούτῳ βάλλειν εἰς τὰς χεῖρας τοῦ Οὐζήρ. Ὁ δὲ ἀπελθὼν, τοῦτο πεποίηκεν. Ἐκρατήθη δὲ Ἀνδρόνικος, καὶ ἐδεσμεύθη μετὰ πάντων τῶν συγγενῶν αὐτοῦ. Καὶ μαθὼν ὡς διὰ δόλου τοῦ Σαμωνᾶ ταῦτα αὐτῷ γέγονεν, ἀναγκασθεὶς ἐμαγάρισεν (95), αὐτός τε καὶ οἱ σὺν αὐτῷ. Ἔκτοτε δὲ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ, καὶ οἱ λοιποὶ εἰδότες ὡς ἀδύνατόν ἐστιν Ἀνδρόνικον ἐξελθεῖν, βουλῇ αὐτοῦ μετ' οὐ πολὺ μόνοι φυγῇ χρησάμενοι, θαυμαστὸν ὄντα [ὅπερ θαυμαστὸν ἦν], ἐκ μὲν Συρίας πρὸς Ῥωμανίαν ἐξῆλθον· καὶ καταπολεμούμενοι κατὰ χώρας, μόλις ὀλίγοι διεσώθησαν μετὰ Κωνσταντίνου υἱοῦ αὐτοῦ. Ἐκ δὲ Ταρσοῦ εἰσῆλθεν ἐν τῇ πόλει περὶ ἀλλαγίου ὅ
C τε Ἀβαλβόκης ὁ γέρων, καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ. Καὶ τούτους ἐθεάσατο ὁ βασιλεὺς, [add. καὶ] μετὰ κοσμήσεως (96), καὶ τιμῆς, καὶ δόξης ἐν τῇ Μαγναύρᾳ ὑπεδέξατο· ἐκαλλώπισεν δὲ καὶ τὴν Μεγάλην Ἐκκλησίαν ἐν κόσμῳ πολυτελεῖ, καὶ ὑπέδειξεν ἅπαντα τὰ τίμια σκεύη τοῖς Ἀγαρηνοῖς· ὅπερ ἀνάξιον ἦν βασιλείας καὶ Χριστιανικῆς καταστάσεως, τοῦ θεαθῆναι παρὰ τῶν ἐθνῶν τὰ ἅγια σκεύη τοῦ Θεοῦ. Ὁ δὲ τοῦ Σαμωνᾶ πατὴρ ἤθελεν συνεῖναι τῷ βασιλεῖ καὶ τῷ υἱῷ αὐτοῦ, καὶ μεῖναι εἰς Ῥωμανίαν. Ὁ δὲ Σαμωνᾶς παρῄνεσεν αὐτῷ, λέγων· Κράτει τὴν πίστιν, ἣν ἔχεις, κἀγὼ, εἰ δυνηθῶ, ἐλεύσομαι πρὸς σὲ μᾶλλον. Τῇ δὲ ἡμέρᾳ τῆς Πεντηκοστῆς στέφει Λέων ὁ βασιλεὺς τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον δι' Εὐθυμίου πατριάρχου. Δέδωκε δὲ Σαμωνᾶς Κωνσταντῖνον ἄν-
D θρωπον αὐτοῦ, καὶ δουλεύσαντα πρότερον Βασιλείῳ μαγίστρῳ καὶ κανικλείῳ, δουλεύειν Ζωῇ Αὐγούστῃ· ὃς ἠγαπήθη παρὰ τοῦ βασιλέως Λέοντος καὶ τῆς Αὐγούστης. Διὰ τοῦτο πολλὰ ἐφθόνει Σαμωνᾶς αὐτῷ, καὶ ἐλοιδόρει, ὡς συνόντα τῇ Αὐγούστῃ. Ὅπερ ὁ βασιλεὺς ὑπονοήσας, ἀπέκειρεν αὐτὸν μοναχὸν ἐν τῇ μονῇ τοῦ Ἁγίου Ταρασίου διὰ τοῦ Σαμωνᾶ. Μετολί-

FRANC. COMBEFISII NOTÆ.

(93) Vox est in cod. breviata : melius exprimas cum Anonymo, μεγαλοπρεπῶς, non *a Magno Amerumne*, qui inauditus ejus titulus ; sed ab eo *magnifice susceptus est*.

(94) *Intra bacillum ceræ candidæ; intra cereum.* Ὁ τρακτὸς κηρὸς Aetio, *cera alba* : et τὸ, τρακταΐζειν (v. Lexico ex Phavorino), *dealbare* est, quod in cera pinsendo fit. De cinibari docte Stephan. in Appendice.

(95) Τὸ, ἐμαγάρισε, Anonymus et Cedr. τὴν ἰδίαν πίστιν ἐξωμόσατο, *ejuravit Christianam fidem*.

(96) *Magnifice ornatis ædibus*. Anonym., κόσμῳ πολλῷ τὴν Μαγναῦραν κατακοσμήσας, Vocem ἐθεάσατο mutem ἐδέξατο, moto quod sequitur ὑπεδέξατο.

τον δὲ ὥρισεν Σαμωνᾷ ἀναλαβέσθαι αὐτὸν ἐν τῇ αὐτοῦ μονῇ [*add.* λεγομένῃ] τὰ Σπεῖρα, βουλόμενος πάλιν ἀναλαβέσθαι αὐτόν. Ἀπελθὼν οὖν [*add.* εἰς] πρόκενσον ἐν τῷ Δαματρῦ, καὶ ἐν τῇ μονῇ τοῦ Σαμωνᾶ ἀριστήσας, εἶδεν Κωνσταντῖνον, καὶ παρευθὺ ὥρισεν Σαμωνᾷ, καὶ ἐνέδυσεν αὐτὸν κοσμικά, καὶ ἐκέρασεν τὸν βασιλέα εἰς τὸ κλητώριον, καὶ ὑπέστρεψεν μετ' αὐτοῦ ἐν τῷ παλατίῳ. Ὁρῶν δὲ Σαμωνᾶς αὐξανομένην τοῦ βασιλέως ἀγάπην ἐπ' αὐτόν, βουλεύεται μετὰ μεγίστου κοιτωνίτου καὶ Μιχαὴλ Στηρήδονος, καὶ ποιοῦσι χάρτην πολυλοίδορον κατὰ τοῦ βασιλέως, γράψαντος καὶ συντάξαντος αὐτὸν τοῦ Ῥοδίου νοταρίου ὄντος τοῦ Σαμωνᾶ. Ἐλθὼν δὲ ὁ βασιλεὺς ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ εὕρας αὐτὸν ἐν ᾧ ηὔχετο τόπῳ εἰς τὸ μιτατώριον, καὶ ἦρεν αὐτόν, καὶ ἀναγνοὺς ἐν μεγάλῃ θλίψει ἦν, ζητῶν τὸν τοῦτον ποιήσαντα. Γέγονε δὲ καὶ ἔκλειψις σελήνης, καὶ διωρίσατο ὁ βασιλεὺς τοῖς οὖσι τότε ἀστρονόμοις εἰπεῖν τὸ ἀποτέλεσμα. Εἰσερχομένου δὲ πρὸς τὸν βασιλέα φίλου ὄντος τοῦ Σαμωνᾶ Πανταλέοντος μητροπολίτου, ἠρώτησεν αὐτὸν Σαμωνᾶς· Εἰς τίνα ἐστὶν ἡ κάκωσις; Ἔφη αὐτός· Εἰς σέ· καὶ ἐὰν διέλθῃς Ἰουνίου τὰς τρισκαίδεκα, ἔκτοτε οὐδὲν πείσῃ κακόν. Τὸν δὲ βασιλέα εἶπεν εἰς τὸ δεύτερον ἔχειν κάκωσιν τὴν σελήνην. Ὁ δὲ βασιλεὺς ὑπέλαβεν τοῦτο εἰς Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν. Μετὰ τοῦτο δὲ ἰδίως Τζιρήδων [*supra* Στηρήδων] τῷ βασιλεῖ ἐξεῖπεν· Ὁ Σαμωνᾶς τὸ πιττάκιον ἐποίησεν. Καὶ παρευθὺ καταβιβάζει Σαμωνᾶν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀποκείρει πρῶτον (97), καὶ ἀπάγει εἰς τὴν μονὴν Εὐθυμίου πατριάρχου· καὶ μετὰ ταῦτα πάλιν λοιδορηθέντα ἀπήγαγον εἰς τὴν τοῦ Μαρτινάκη μονήν. Ἐποίησεν δὲ Κωνσταντῖνον παρακοιμώμενον, καὶ ἔκτισεν αὐτῷ μονὴν ἐν Νοσίαις. Καὶ ἀπῆλθον ἅμα Εὐθυμίῳ πατριάρχῃ καὶ ἀνεκαίνισαν ταύτην. Ὀκτωβρίῳ δὲ μηνὶ γέγονε πόλεμος ναυτικὸς Ἱμερίῳ λογοθέτῃ μετὰ Δαμιανοῦ καὶ Λέοντος τῶν Ἀγαρηνῶν, στρατηγοῦ ὄντος [*add.* ἐν] Σάμῳ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος. Ἡττήθη δὲ Ἱμέριος καὶ μόλις διεσώθη σχεδὸν πάντων ἐκεῖ κινδυνευσάντων. Ἤρξατο δὲ νοσηλεύεσθαι Λέων ὁ βασιλεὺς κοιλιακῷ νοσήματι, ὥστε μὴ δυνηθῆναι (98) ἐξελθεῖν ἐν τῇ Μαγναύρᾳ τὴν δημηγορίαν διαλαλῆσαι ἐν τῇ ἀρχῇ τῶν Νηστειῶν. Γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὰ κηρουλάρια τῆς Μεγάλης Ἐκκλησίας, καέντων τῶν χαρτοθεσίων πάντων καὶ τῆς σακέλλης (99). Μαΐῳ δὲ ἑνδεκάτῃ τελευτᾷ Λέων ὁ βασιλεὺς προχειρισάμενος Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν· ὃν ἰδών, ὥς φασι, εἰσερχόμενον πρὸς αὐτόν, ἔφη· Ἴδε ὁ κακὸς καιρὸς μετὰ τοὺς τρισκαίδεκα μῆνας, πολλὰ ἐκλιπαρήσας καὶ δεηθεὶς αὐτοῦ φυλάττειν τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον.

A Tarasii **486** monasterio monachum tonderi jussit. Paulo post autem Samonæ mandavit in monasterium proprium, Spira dictum, eumdem recipi, quo rursum facilius ad se vocaret. Processu igitur ad Damatrim habito, et in Samonæ monasterio pransurus vidit Constantinum, confestimque Samonam jussit ut consuetis sæculo vestibus eum indueret. Tum inter epulas imperatori bibendum propinavit, et cum eo ad palatium regressus est. Videns autem Samonas auctum imperatoris in eum affectum, cum cubiculario præcipuo et Michaele Steredone consilium iniit: et una libellum conviciis refertum adversus imperatorem, scribente illum et componente Rhodio, Samonæ notario, comminiscuntur. Imperator in Magnam ecclesiam profectus, et eo B qua Deum precari consueverat sede ad mitatorium reperto, eumdem acceptum magna cum animi angustia perlegit, libri requirens auctorem. Contigit autem lunæ eclipsis; jussitque astronomos qui tunc aderant effectus ejus edicere. Pantaleonem vero metropolitam Samonæ amicum ad imperatorem enarrare progressum interrogabat Samonas; in quem recideret ejus influxus malignitas? Ait ille: In te. Præteritis tamen Idibus Juniis, si evaseris, nihil subinde mali patieris. Imperatori vero renuntiaverunt illi in secundam ab eo personam lunam pravitate sua minari, quod imperator de fratre suo Alexandro suspicabatur. Post hæc vero Steredon imperatori privatim enuntiavit: Samonas C libellum commentus est. Et confestim Samonam in suam se recipere domum coegit: ibique primum tonderi, et in Euthymii patriarchæ monasterium adduci jussit: ibique postmodum aliis convictus criminibus in Martinacis monasterium deportatus est. Constantinum autem accubitorem creavit, et in Nosiis monasterium de ejus nomine condidit: abiitque una cum Euthymio patriarcha, et solemni officio dedicavit. Mense porro Octobri Himerio logothetæ una cum Damiano et Leone Agarenis, Sami duce Romano, qui postea regnavit, exsistente, prælium commissum est, quo victus Himerius, cunctisque in summum periculum adductis, vix incolumis evasit. Imperator autem Leo gravi morbo jactari cœpit, adeo ut in Magnauram orationem D jejuniorum principio habere nequiret. Contigit autem incendium in Magnæ ecclesiæ cerulariis, quo chartarum thesauri, armaria et sacella combusta sunt. Maii tandem die undecimo Leo imperator, cum antea successorem **487** fratrem suum Alexandrum designasset, diem extremum obiit: quem ille, ut aiunt, ad se venientem conspicatus, dicit: Cave. Post menses tredecim pessimum tempus instat: et impensissime rogavit et obtestatus est, ut Constantinum filium suum protegeret.

FRANC. COMBEFISII NOTÆ.

(97) Ἀποκείρει μοναχόν, *monachum detondet*: male expressum πρῶτον.

(98) Melius alii, μόλις δυνηθῆναι· ut quamvis ægre admodum, tamen adfuerit atque oraverit, κατὰ τὸν βασιλικὸν τύπον· *pro eo ac orare Romanos imp. erat usu receptum.* Suppetunt ex Naudæano, nunc card. Mazarini cod. tres ejus orat. hoc argumento, *Bibliothecæ* nostræ *concionatoriæ* cum aliis ejus inserendæ.

(99) Χαρτοθεσίων τῆς πατριαρχικῆς σακέλλης. Sic bene Anonym. *Armariis omnibus patriarchalis sacelli sive thesauri combustis.*

ALEXANDER.

A Imperavit Alexander una cum Constantino Leonis filio annum unum, dies viginti novem. Missoque ad Nicolaum ad Galacrenas nuntio Euthymium patriarcham deposuit, et Nicolaum secundo restituit. Habuit autem Alexander ad Magnauram silentium, et concilium celebravit, atque Euthymium ab Agatho advocavit. Sedenteque Alexandro cum Nicolao patriarcha, assessores Euthymii depositioni vacabant attentius, cum dedecore venerandi et per omnia mirandi viri colendam barbam vellicantes, aliaque opprobria et injurias inferentes, quas quiete et mansuete honorabilis et sacer vir tolerabat. Ex quibus ad Agathi ædes vita functus, in proprio monasterio juxta Psamathii depositus est. B Alexander, suspicionibus liber quas frater Leo adversus ipsum, dum in vivis esset, fovebat, venatibus continuis et per varia palatia discursibus vacabat usquequaque, nihil imperatore dignum meditatus aut executus, sed semper deliciis, luxuriæ et ebrietatibus indulgens, totum se hujusmodi tradiderat. Unde protinus Janem clericum, cognomine Lazarem, rectorem instituit, qui post Alexandri mortem misere vitam abrupit: Gabrielopulum pariter et Basilitzen, Sclavinorum genere ortos palatii divitiis vehementer auxit, adeo ut nulla prole suscepta Basilius iste imperatorem, ut aiunt, hæredem instituere meditatus fuerit. Constantinum etiam Leonis filium eunuchum reddere consuluit, et frequenter id aggressus ab iis, quos C Leo beneficiis affecerat, modo infantilem ætatem, modo infirmitatem prætendentibus præpeditus fuit. Ejus tempore apparuit cometes per dies quindecim ad occidentem, quem Xiphiam vocari dicebant, et sanguinis effusionem in urbe effecturum portendere. Hic erronibus et præstigiatoribus se totum dedit, qui etiam suaserunt: Apri fatum sive signum quod in Circo erectum est, tibi vitæque tuæ repositum est: porci vitam amentem illum agere subindicantes. His ille seductus pudenda dentesque porco quasi sibi deficientia renovari jussit. Eodem etiam persuasus errore, equestri celebrato certamine, prolatis ecclesiæ vestibus, **488** productisque candelabris multifidis ludos exornavit, et luminum splendore animalia decoravit. D Eam ob rem Dei manus auxiliaris ab eo remota est, qui Dei honorem idolis adolere non est veritus. Himerium vero logothetam a clade quam ab Agarenis pertulerat, redeuntem, misso nuntio, Alexander in palatii monasterium Campa dictum,

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἀλέξανδρος ἐβασίλευσεν ἔτος ἓν ἡμέρας κθ' σὺν Κωνσταντίνῳ υἱῷ Λέοντος. Ἀποστείλας δὲ ἤγαγεν Νικόλαον ἐκ Γαλακρηνῶν, καταγαγὼν Εὐθύμιον πατριάρχην, καὶ ἐνεθρόνισεν τὸ δεύτερον τὸν αὐτὸν Νικόλαον. Ἐποίησε δὲ σελέντιον καὶ σύνοδον Ἀλέξανδρος ἐν τῇ Μαγναύρᾳ, ἀγαγὼν Εὐθύμιον ἀπὸ τοῦ Ἀγαθοῦ, καὶ συγκαθίσας ἅμα Νικολάῳ πατριάρχῃ, ἐποιήσαντο τὴν κατ' αὐτοῦ καθαίρεσιν ἀτίμως ἀποτίλλοντες τοῦ ἱεροπρεποῦς καὶ ἀξιαγάστου ἀνδρὸς τὴν τιμίαν γενειάδα, καὶ ἄλλας τινὰς ὕβρεις καὶ ποινὰς αὐτῷ ἐπιφέροντες, ἃς ἡσύχως καὶ πράως ὑπέμεινεν ὁ τίμιος καὶ ἱερὸς ἀνήρ· ἔνθα καὶ εἰς τὰ Ἀγαθοῦ τελευτήσας, κατατίθεται ἐν τῇ αὐτῇ μονῇ, ἐν τῇ πόλει τῶν Ψαμαθίου (1). Οὕτως Ἀλέξανδρος (2) διὰ τὰς ὑπονοίας, ἃς ὁ ἀδελφὸς αὐτοῦ Λέων ἔτι ζῶν εἶχε κατ' αὐτοῦ, ἀεὶ τοῖς κυνηγεσίοις καὶ τοῖς ἔξω παλατίοις ἐσχόλαζεν, μηδὲν βασιλέως ἔργον διαπραττόμενος, ἀλλὰ διάγων ἐν τρυφαῖς, ἀσωτίαις, καὶ μέθαις, καὶ περὶ ταῦτα ἀεὶ διακειμένου [διακείμενος]· ὅθεν παρευθὺ Ἰαννῆν παπᾶν, τὸν ἐπίκλην Λαζάρην, ραίκτωρα πεποίηκεν, ὃς καὶ κακὰ τὸ ζῆν ἀπέῤῥηξεν μετὰ θάνατον Ἀλεξάνδρου· ὡσαύτως οὖν φασιν Γαβριλόπουλον καὶ Βασιλίτζην ἀπὸ τοῦ Σκλαβίνων ἔθνους σφοδρῶς κατεπλούτισεν ἐκ τῶν τοῦ παλατίου χρημάτων. Ὡς φασιν δὲ, αὐτὸν Βασίλειον (3) καὶ βασιλέα ἠβούλετο ποιῆσαι, ὡς ἄπαις αὐτὸς ὢν, καὶ Κωνσταντῖνον υἱὸν Λέοντος εὐνοῦχον ποιῆσαι· ὃ καὶ πολλάκις βουλευθεὶς διεσκεδάσθη παρὰ τῶν ὑπὸ τοῦ Λέοντος εὐεργετηθέντων, ποτὲ μὲν ὡς νήπιον ὑποβαλόντων, ποτὲ δὲ ὡς ἀσθενοῦντα. Ἐπὶ τούτου ἐφάνη ἀστὴρ κομήτης ἐκ δύσεως ἐπὶ ἡμέρας δεκαπέντε, ὃν ἔλεγον ξιφίαν καλεῖσθαι, καὶ αἱματεκχυσίαν ἐν τῇ πόλει ἐργάσεσθαι. Οὗτος πλάνοις καὶ γόησιν ἑαυτὸν ἐξέδοτο, οἳ καὶ πεπείκασιν αὐτὸν, ὡς Τὸ τοῦ συάγρου στοιχεῖον (4) τὸ ἐν τῷ ἱππικῷ σοὶ καὶ τῇ σῇ ζωῇ προσανάκειται, χοιρόδιον τὸν ἀνόητον ὑπεμφαίνοντες. Ὁ δὲ τούτοις ἀπατηθεὶς αἰδοῖα καὶ ὀδόντας τῷ χοίρῳ προσανενέωσεν ὡς λειπομένους αὐτῷ· καὶ τῇ αὐτοῦ πλάνῃ πεποιθὼς ὢν, ἱππικὸν ποιήσας τὰς τῶν ἐκκλησιῶν ἐνδυτὰς καὶ πολυκάνδηλα ἄρας τὸ ἱππικὸν ἐστόλισεν, καὶ τοῖς ζῳδίοις φωταψίαν ἐποίησεν· διὰ τοῦτο ἤρθη ἀπ' αὐτοῦ ἡ τοῦ Θεοῦ χεὶρ, ὡς τὴν τοῦ Θεοῦ τιμὴν τοῖς εἰδώλοις προσάψαντος. Ἱμερίου δὲ λογοθέτου ἐκ τῆς τῶν Ἀγαρηνῶν ἥττης ὑποστρέψαντος, ἀποστείλας Ἀλέξανδρος περιώρισεν ἐν τῇ μονῇ τοῦ παλατίου, τῇ λεγομένῃ Καμπᾶ, ἀπειλήσας ὡς ἐχθρὸν αὐτοῦ ὄντα ἐπὶ τοῦ ἀδελφοῦ αὐτοῦ Λέοντος· ὁ δὲ ἐκ θλίψεως πολλῆς ἀῤῥωστήσας, περιορισάμενος ὢν ἐπὶ μῆνας ἕξ, ἐτελεύτησεν. Ἀπέστειλεν δὲ Συ-

FRANC. COMBEFISII NOTÆ.

(1) Ex Anonymo et Cedr., ἐν τῇ πόλει εἰσαχθεὶς, κατατίθεται ἐν τῇ αὐτοῦ μονῇ τοῦ Ψαμαθίου, *in urbem illatus sepelitur in suo monast. quod ad Psamathii ædes positum est:* cum scilicet ad Agathi ædes in exsilio mortuus esset.

(2) Ὁ οὖν Ἀλέξανδρος, Anonym., ex quo suppl. post vocem διακείμενος, μονώτατος ἄρξας, οὐδὲν γενναῖον καὶ λόγου ἄξιον κατεπράξατο. *Cum sic otio vitam egisset ob fratris in eum suspiciones, solus imperium adeptus nihil quod generosi pectoris ac dignum laude foret, peregit.*

(3) Emend. ex laudatis auctoribus, *ipsum quoque Basilitzem imperatorem creare volebat, cum ipse prole careret, evirato Constantino.*

(4) *Apri simulacrum, velut ad cœlestis signi rationem illi compositum.* Στοιχειωματικοὶ dicuntur, qui figuras ejusmodi astronomicas superstitiose efformant.

μεὼν ὁ ἄρχων Βουλγαρίας μηνύων Ἀλεξάνδρῳ τὰ περὶ εἰρήνης. Συμεὼν παρεσκευάζετο (5) κινῆσαι κατὰ τῶν Χριστιανῶν ὅπλα. Ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἀριστήσας καὶ οἰνωθεὶς ἐν τοῖς ὑπὸ κύνα καύμασι, κατῆλθεν σφαιρίσαι, καὶ ῥομφαίᾳ θεηλάτῳ πληγεὶς, καὶ ἀνελθὼν, αἵματος ἐκ τῶν ῥινῶν καὶ τῶν αἰδοίων ἐκφερομένου, μετὰ δύο ἡμέρας ἐτελεύτησεν καταλιπὼν ἐπίτροπον Νικόλαον πατριάρχην, καὶ Στέφανον μάγιστρον, καὶ Ἰωάννην μάγιστρον τὸν Ἐλαδᾶν, καὶ Ἰωάννην ῥαίκτωρα, καὶ Εὐθύμιον, καὶ τὸν Βασιλίτζην, καὶ τὸν Γαβριλόπουλον, ἐάσας τὴν βασιλείαν Κωνσταντίνῳ υἱῷ Λέοντος. Ἀπέθετο δὲ Ἀλέξανδρος ἐν τοῖς τάφοις (6) μετὰ τοῦ πατρὸς αὐτοῦ.

A velut hostem a fratris sui Leonis tempore sibi infensum adjectis minis exsulem egit. Ille societate hominum interdictus per menses sex ex nimio mœrore morbo correptus interiit. Simeon autem Bulgariæ princeps, missis ad Alexandrum nuntiis, de pace tractatum habuit. Simeon adversus Christianos arma movere parabat. Alexander imperator bene pastus, et vino temulentus sub caniculæ ardores pila lusurus processit, gladioque divinitus immisso, vulneratus rediit sanguinem e naribus et pudendis effundens, et post dies duos Nicolao patriarcha, et Stephano magistro Elada, et Joanne rectore, et Euthymio, et Basilitze, et Gabrielopulo procuratoribus institutis, Constantino Leonis filio reliquit imperium. Alexander ille cum patre Basilio B eodem sepulcro repositus est.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

Κωνσταντῖνος δὲ, τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος Λέοντος, παῖς ἔτι τυγχάνων (ἕβδομον γὰρ εἶχε τῆς ἡλικίας ἔτος), ὑπὸ Ἀλεξάνδρου υἱοῦ [θείου] αὐτοῦ ἐν βασιλείᾳ καταλέλειπτο ὑπὸ ἐπιτρόπους τελῶν (7), ἐβασίλευσεν ἐπὶ τῶν αὐτοῦ ἐπιτρόπων, καὶ σὺν τῇ μητρί· ἅμα δὲ Ῥωμανῷ πενθερῷ αὐτοῦ, ἐν ὑποταγῇ ὢν, ἕτερα ἔτη εἴκοσι ἕξ· μονοκράτωρ δὲ ἔτη δεκαπέντε· ὡς εἶναι τὸν ἅπαντα χρόνον τῆς βασιλείας αὐτοῦ ἔτη πεντήκοντα πέντε. Λαβόμενος οὖν τῆς τοῦ παλατίου ἐξουσίας ὁ πατριάρχης Νικόλαος, τὴν τοῦ κοινοῦ πρόνοιαν ἐποιεῖτο καὶ τὴν φροντίδα εἶχεν τῶν τῇ βασιλείᾳ ἀνηκόντων πραγμάτων ὁσημέραι. Ἐν τούτοις οὖν τῆς βασιλείας οὔσης δηλοῦται Κωνσταντίνῳ τῷ δουκὶ τῶν σχολῶν (8) παρά C τινων τῶν ἐν τῇ πόλει μεγιστάνων φιλούντων αὐτὸν, ὡς ἀνδρεῖον καὶ νουνεχῆ καὶ καλῶς δυνάμενον τὴν ἐκκλησίαν [βασιλείαν] διακυβερνᾶν, εἰσελθεῖν, καὶ ταύτης ἐγκρατὴς [ἐγκρατῆ] γενέσθαι ἀπονητί. Ὁ δὲ, ἅτε καὶ πρότερον αὐτὴν ὀνειροπολῶν, καὶ τοὺς στεφάνους ἀεὶ ἐφιέμενος, ὡς εἶχεν τάχος τὴν βασιλεύουσαν καταλαβὼν ἅμα τοῖς σὺν αὐτῷ τῶν στρατευμάτων ἐκκρίτοις ἱκανοῖς οὖσιν, καὶ νυκτὸς διὰ παραπυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου Μιχαὴλ, οὔσης πλησίον ἀκροπόλεως ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ αὐτῆς [αὐτοῦ] Γρηγορᾶ, ἄϋπνος μετὰ τῶν συνόντων αὐτῷ διετέλεσεν. Νικήτας δὲ ἀσηκρῆτις, ὁ μετὰ ταῦτα πρωτονοτάριος γεγονὼς, τὴν Κωνσταντίνου ἄφιξιν τῷ πατρικίῳ Κωνσταντίνῳ τῷ Ἐλαδικῷ κατεμήνυσεν, καὶ ἄμφω τῇ αὐτῇ D νυκτὶ πρὸς τὸν δοῦκα Κωνσταντῖνον παρεγένοντο,

CONSTANTINUS.

Constantinus patre Leone mortuo adhuc puer, (septimum enim tantum ætatis suæ agebat annum) sub patrui tutela imperator relictus est. Habuit etiam imperii procuratores, et sub eorum cura, matre pariter illis adjuncta, rexit : una vero cum Romano, socero suo, cui subjectus fuit, annos alios viginti sex : solus imperium rexit annos quindecim : adeo ut imperii ejus tempus omne annis quinquaginta quinque concludatur. Palatii itaque potestatem adeptus Nicolaus patriarcha, rebus communibus providebat, curamque gerebat quotidianorum regni negotiorum. Cum igitur sic se haberent imperii res, Constantino scholarum duci a quibusdam urbis proceribus ejus amicis suggeritur, eum ceu virum fortem et prudentem, quique posset rempublicam administrare, ut seipsum promoveret, nulloque labore capessendum imperium aggrederetur. Ille igitur, utpote qui prius illud in votorum somniis habuerat, et coronarum libidine semper æstuabat, quanta potuit velocitate, in reginam urbem una cum selectis copiis et ad quodvis audendum idoneis profectus est : noctuque per portulam protovestiarii Michaelis urbis arcis vicini ingressus, in domo
489 Gregoræ soceri insomnis una cum sociis mansit. Nicetas autem a secretis, qui postea factus protonotarius, Constantini adventum Constantino Eladico patricio significavit, amboque pariter ipsa nocte ad ducem Constantinum accedunt : habitoque consilio illuscescente die, sed profundis adhuc te-

FRANC. COMBEFISII NOTÆ.

(5) Fœde hæc mutila, ac nullo sensu, ex Anonym., et Cedr. suppl. : Εἰρήνης, ὡς ταύτην ἀσπάζοιτο καὶ τοῦ φιλοφρονεῖσθαι αὐτὸν καὶ τιμᾶσθαι, ὥσπερ δὴ καὶ ἐπὶ τοῦ βασιλέως Λέοντος. Ὁ δὲ ἀνοίᾳ καὶ ἀφροσύνῃ κρατηθεὶς, τοὺς πρέσβεις ἀτίμως ἐξέπεμψεν ἀπειλαῖς χρώμενος κατὰ Συμεὼν, καὶ καταπλήττειν οἰόμενος. Τῆς οὖν εἰρήνης διαλυθείσης, Συμεών· *Misit Symeon legatos de pace admonens, seque eam percupere significans; humanitatis officiis se ille demereretur, ac honorem haberet, uti etiam Leone imperatore factum erat. Alexander dementia captus legatos ignominia habitos amandat, minas in Symeonem intentans, ac se eum territurum sperans. Pace itaque dissoluta, Symeon expeditionem in Christianos parabat.*

(6) Ἐν τοῖς τάφοις τῶν βασιλέων, Anonym. *In sepulcris regum conditus est.*

(7) *Ab Alexandro patruo imperator relictus erat, sub tutoribus agens :* non *sub tutela Alexandri*, quo vivente nec imperavit. Sequentia suppl. ex Cedreno, etc. ἐβασίλευσεν σὺν τῇ μητρὶ ἔτη ζ'. *Sub his itaque tutoribus, ac matre imperavit annis septem.*

(8) Insolens titulus, nec nisi errore librarii ac textus mutilatione natus. Emend. ex aliis, τῷ δουκὸς, (ἄλλ. δουκὶ), τῶν σχολῶν δομεστικῷ, *Constantino ducis filio (sive etiam duci) scholarum domestico.*

nebris, cum lampadibus magnaque populi et armorum multitudine Circi portam, Constantinum ut imperatorem acclamantes, occupant. Ibi primum ab iis qui Circi tenebant penetralia, ejus equiso peremptus est. Illuc igitur non admissus, quinimo expulsus, velut arreptitius debacchans, nec præ imperii cupiditate mentis compos, Circo se subducit subtristis et vultu demisso, sinistrum omen secum reputans equisonis cædem. Illinc itaque faustis acclamationibus semper comitatus, ad portam Chalces nomine appulit, et per ferream portam ingressus ad excubitorum usque locum penetravit. Ex adverso magister Joannes Eladas confœderatorum et remigum selectu habito, armis instructos contra ducem submisit. Illis itaque ad Chalcem appellentibus, inito certamine, multi ex utraque parte gladiis confossi ceciderunt, imo ad eum numerum, ut fluente sanguine locus fluminis in morem stagnaret. Corruit ibidem Gregoras ducis filius, et Michael ejus consobrinus, et Cortices ille ex Armenia oriundus. His cognitis, tumultu plurimo per civitatem excitato, Constantinus equum calcari vehementius impulit; equus super lapideis tabulatis infra stratis lapsus equitem in terram dejecit, sociis omnibus hinc inde fuga palantibus et dissipatis. Eum in terram projectum solumque derelictum cum quidam conspexisset ac tenuisset, ejus caput gladio amputavit. His ita peractis, Gregoras magister ejus socer, una cum Leone cognomento Chœrosphacte ad sanctæ Dei Sapientiæ templum profugit, quos vi inde extractos et laceris vilibusque vestibus indutos, asinoque superpositos, per mediam urbem in triumphi morem traduxerunt, et ad Dalmatæ monasterium abductos supplicii ac condemnationis nomine loco celebri fecerunt inclusos: Leonem vero Catacalitzem et Abessalom Arotræ filium excæcatos in exsilium miserunt. Constantinum autem Eulampii filium et ejus comites Philotheus præfectus ad Circi metam gladio obtruncavit. Non modica vero de Niceta a secretis et Constantino Libe perquisitione facta, ipsi, ceu fuga usi, nullatenus reperti sunt. Ipsum autem multosque, qui cum ipso erant, fortes viros a Damali, **490** quæ est Chrysopoleos locus, ad Lacatem usque geminis lignis sive furcis cunctos suspenderunt: plurimosque crudeliter et sine causa isti procuratores appellati neci tradidissent, nisi judicum quidam iniquum eorum impetum cohibuissent, dicentes illis: Cum adhuc imperator in-

A καὶ βουλὴν ποιησάμενοι, οὔπω τῆς ἡμέρας καταλαβούσης, ἀλλ' ἔτι σκοτίας οὔσης, μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὅπλων τὴν τοῦ ἱπποδρομίου πύλην καταλαμβάνουσιν, Κωνσταντῖνον εὐφημοῦντες, ὡς βασιλέα. Ἔνθα δὴ ὁ τούτου ἱπποκόμος παρὰ τῶν ἐντὸς τοῦ ἱπποδρόμου πυλῶν ἀνῃρέθη. Μὴ δεχθεὶς οὖν ἐκεῖσε ὁ Κωνσταντῖνος, ἀλλ' ἀποσοβηθεὶς ὥσπερ ἔκ τινος ἐκβακχευόμενος δαίμονος, καὶ μὴ ἐφεστηκότα ἔχων τὸν λογισμὸν τῷ τῆς βασιλείας ἔρωτι, ἐν τῷ ἱπποδρομίῳ ὑπεχώρησεν (9), στυγνός τε καὶ κατηφὴς, κακὸν οἰωνὸν τὴν τοῦ ἱπποκόμου κρίνας σφαγήν. Ἐκεῖθεν οὖν εὐφημούμενος ἦλθε μέχρι τῆς λεγομένης Χαλκῆς, καὶ διὰ τῆς σιδηρᾶς πόρτας εἰσεληλυθὼς μέχρι τῶν ἐξκουβίτων παρεγένετο. Ὁ οὖν μάγιστρος Ἰωάννης ὁ Ἐλαδᾶς ἐκλογὴν τῶν
B τε τῆς ἑταιρείας, καὶ τῶν ἐλατῶν ποιησάμενος, μεθ' ὅπλων τούτους ἀπέστειλεν κατὰ τοῦ δουκός. Ἐλθόντων οὖν μέχρι τῆς Χαλκῆς, καὶ πολέμου συστάντος, πολλοὶ ἐξ ἀμφοτέρων ἔπεσον τῶν μερῶν ἔργον ἐκεῖσε μαχαίρας γενόμενοι, καὶ τοσοῦτοι ὥστε τὸν τόπον ἐκλιμνασθῆναι τῷ αἵματι ποταμηδὸν καταῤῥέοντι. Ἀνῃρέθη καὶ Γρηγορᾶς υἱὸς τοῦ δουκὸς, καὶ Μιχαὴλ ὁ ἐξάδελφος αὐτοῦ, καὶ ὁ Κορτίκης ἐκεῖνος ὁ ἐξ Ἀρμενίων. Ταῦτα ὁ δοὺξ Κωνσταντῖνος μαθὼν, ταραχῆς ὅτι πλείστης γενομένης, τὸν ἵππον ἐξήλαυνεν. Ὁ δὲ ταῖς ἐκεῖσε ὑπεστρωμέναις ἐνολισθήσας πλαξὶν, εἰς γῆν τὸν ἐπιβάτην κατέβαλεν· οἱ γὰρ ἄλλοι διεσκεδάσθησαν ἅπαντες. Ἐπεὶ δέ τις αὐτὸν κατὰ γῆς ἐῤῥιμμένον καὶ μεμο-
C νωμένον κατέλαβεν, ξίφει τὴν τούτου ἀπέτεμε κεφαλήν. Τούτων οὕτω τελεσθέντων Γρηγορᾶς μάγιστρος, ὁ τούτου πενθερὸς, μετὰ Λέοντος, ὃν Χοιροσφάκτην ὠνόμαζον, τῇ Ἁγίᾳ Θεοῦ Σοφίᾳ προσπέφυγεν· οὓς καὶ βίᾳ ἐκεῖθεν ἀποσπάσαντες (10), ῥάκη τε περιβαλόντες, καὶ ὄνῳ ἐπικαθίσαντες, διὰ μέσης τῆς πόλεως ἐθριάμβευσαν· καὶ ἐν τῇ τοῦ Δαλμάτου ἀπαγαγόντες μονῇ ἐγκαταχλείστους, τῇ λεγομένῃ Καταδίκῃ, πεποιήκαν. Λέοντα δὲ τὸν Καταχαλίτζην, καὶ Ἀβεσσαλὼμ τὸν τοῦ Ἀροτρᾶ ἐκτυφλώσαντες, ἐν ἐξορίᾳ παρέπεμψαν· Κωνσταντῖνον δὲ τὸν τοῦ Εὐλαμπίου υἱὸν καὶ ἑτέρους σὺν αὐτῷ, Φιλόθεος ὕπαρχος ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ ξίφει ἀπέτεμεν. Οὐ μικρῶς δὲ διερευνησάμενος περὶ Νικήτα ἀσηκρῆτις, καὶ Κωνσταντίνου
D τοῦ Λιβὸς, οὐχ εὗρεν αὐτοὺς, ὡς χρησαμένους φυγῇ· τὸν δὲ ἐκεῖνον (11) καὶ τοὺς σὺν αὐτῷ πολλοὺς καὶ ἀνδρείους ὄντας ἀπό τε τῆς ἐν Χρυσοπόλει Δαμάλεως, καὶ μέχρι τοῦ Λακάτου διδύμοις ξύλοις πάντας ἀνεσκολόπισεν, καὶ πολλοὺς (12) ἀνηλεῶς

FRANC. COMBEFISII NOTÆ.

(9) Cedr., ἄρας ἐκεῖθεν εἰς τὸ ἱπποδρόμιον παραγίνεται, *se in circum subduxit*. Difficile mihi uti et Xyl. quomodo a Circi porta submotus, profectus inde in Circum venerit, aut se in eum subduxerit? non enim congruit quod redditum est, *Circo se subducit*: nisi forte per aliam portam, majorive impetu in Circum perrupit, tumque eo occupato ad Chalcem ipsam palatii portam penetravit, in qua gravis illa pugna conserta fuit. Sic equidem existimo.

(10) Supple, Ἀποσπάσαντες ἀπέκειραν μοναχοὺς ἐν τῇ τοῦ Στουδίου μονῇ, Κωνσταντῖνον δὲ τὸν Ἐλλαδικὸν βουνεύροις τύψαντες, κ. τ. λ. *Abstrahentes cæsarie multarunt in Studii monasterio; Constantinum autem Helladicum taureis cæsum*, etc. Erat is jam monachus, ac præcipuus incentor seditionis exstiterat, ideoque non addicitur monasterio, sed inclusi pœna in eo damnatur: neque pœna hæc duos alios superiores tangit, quos in monachos detonsos in Studiano monasterio dixit.

(11) Τὸν δὲ Αἰγίδην ἐκεῖνον, Anonym., Cedr

(12) Πολλοὺς τῶν ἐν τέλει, cum Anonymo, vel

καὶ ἀναιτίως οἱ λεγόμενοι οὗτοι ἐπίτροποι ἀπέκτειναν, εἰ μή τινες τῶν δικαστῶν τῆς ἀδίκου ὁρμῆς ἀναισχύντισαν [ἀνεχαίτισαν], εἰπόντες πρὸς αὐτούς, ὡς· Παιδὸς ὄντος τοῦ βασιλέως, πῶς ἄνευ τῆς αὐτοῦ κελεύσεως τοιαῦτα τολμᾶτε διαπράττεσθαι; Τὴν τοῦ δουκὸς οὖν γυναῖκα ἀποκείραντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῆς ἐξαπέστειλαν, εὐνουχίσαντες καὶ τὸν υἱὸν αὐτοῦ.

A ter pueros agat, quomodo sine ejus jussu talia patrare aggredimini? Deinde ducis uxorem, cæsarie deposita, in ejus domum, quam in Paphlagonia possidebat, filio ejus virilibus prius exsecto, miserunt.

Αὐγούστῳ δὲ μηνὶ Συμεὼν ὁ Βουλγαρίας ἄρχων ἐκστρατεύσας κατὰ Ῥωμαίων σὺν ὄχλῳ βαρεῖ κατέλαβεν τὴν Κωνσταντινούπολιν, καὶ δὴ περικαθίσας αὐτὴν χάρακα περιέβαλεν ἀπό τε Βλαχερνῶν, καὶ μέχρι τῆς λεγομένης πόρτης Χρυσῆς, καὶ ἐλπίσι μετέωρος ὤν, ἀπονητὶ πάντως ἑλεῖν. Ἐπεὶ δὲ τήν τε τῶν τειχῶν κατέμαθεν ὀχυρότητα, τήν τε ἐκ τοῦ πλήθους καὶ τῶν πετροβόλων ἀσφάλειαν, τῶν ἐλπίδων σφαλεὶς, ἐν τῷ λεγομένῳ Ἑβδόμῳ ὑπέστρεψεν B εἰρηνικὰς σπονδὰς αἰτησάμενος. Τῶν δὲ ἐπιτρόπων τὴν εἰρήνην ἀσμενέστατα ἀποδεξαμένων, ἀποστέλλει Συμεὼν Θεόδωρον μάγιστρον αὐτοῦ συλλαλῆσαι τὰ τῆς εἰρήνης. Ἀναλαβόμενος δὲ ὁ πατριάρχης Νικόλαος, καὶ Στέφανος, καὶ Ἰωάννης μάγιστρος τὸν βασιλέα ἦλθον μέχρι τῶν Βλαχερνῶν, καὶ εἰσήγαγον τοὺς δύο υἱοὺς Συμεὼν, καὶ συνειστιάθησαν τῷ βασιλεῖ ἐν τοῖς παλατίοις. Νικόλαος δὲ ὁ πατριάρχης ἦλθε πρὸς Συμεὼν, ᾧτινι τὴν κεφαλὴν ὑπέκλινεν Συμεών. Εὐχὴν οὖν ὁ πατριάρχης ποιήσας, ἀντὶ στέμματος (13) τὸ ἑαυτοῦ ἐπιῤῥιπτάριον τῇ ἑαυτοῦ ἐπέθηκεν κεφαλῇ. Δώροις οὖν ἀμέτροις καὶ μεγίστοις φιλοφρονηθέντες ὅ τε Συμεὼν καὶ οἱ τούτου υἱοὶ εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψαν, ἀσύμφωνοι ἐπὶ τῇ εἰρημένῃ εἰρήνῃ διαλυθέντες. C Τοῦ βασιλέως οὖν Κωνσταντίνου ἅτε παιδὸς ὄντος, καὶ τὴν ἰδίαν μητέρα ἐπιζητοῦντος (ἤδη γὰρ ταύτην τοῦ παλατίου κατήγαγεν Ἀλέξανδρος ὁ βασιλεὺς), ἀναβιβάζουσιν πάλιν αὐτήν. Αὕτη οὖν περικρατὴς γενομένη τῆς βασιλείας ἀναβιβάζει εἰς τὸ παλάτιον Κωνσταντῖνον, παρακοιμώμενον, καὶ Κωνσταντῖνον, καὶ Ἀναστάσιον αὐταδέλφους, τοὺς λεγομένους Γογγυλίους, καὶ τῇ βουλῇ Ἰωάννου τοῦ Ἑλαδᾶ καταβιβάζουσιν τοὺς οἰκείους Ἀλεξάνδρου βασιλέως Ἰωάννην τὸν ῥαίκτωρα, καὶ τὸν λεγόμενον Γαβριλόπουλον, καὶ Βασιλίτζην, καὶ τοὺς λοιπούς. Προχειρίζεται δὲ Ζωὴ Αὐγοῦστα Θεοφύλακτον Δομίνικον ἑταιριάρχην. Ἰωάννης δὲ ὁ Ἑλαδᾶς νόσῳ περιπεσὼν κατελθὼν ἐκ τοῦ παλατίου, καὶ ἐν Βλαχέρναις παραγενόμενος D ὑπὸ τῆς νόσου βαρυνθείσης τελευτᾷ. Συμβουλῇ δὲ Δομινίκου (14) ἅμα τοῖς σὺν αὐτῷ, μετ' ὀργῆς τὰ τῆς ἰδίας Ἐκκλησίας περιποιούμενον [βασιλείας περιποιουμένη], καὶ φροντίζειν εἰποῦσα. Τοῦ δὲ Βουλγάρου Συμεὼν τὴν Θρᾴκην πάλιν ληϊζομένου ἐν φροντίδι οὔσης Αὐγούστης καὶ τῶν ἐν τέλει, ὅπως αὐτὸν τῆς ἀλαζονείας παύσωσιν, ᾐτήσατο Ἰωάννης ὁ Βαγᾶς

Mense porro Augusto, Simeon Bulgariæ princeps adversus Romanos, comparato exercitu cum multitudine gravi, Constantinopolim appulit, et vallo a Blachernis ad portam Chrysen vocatam circumducto, urbem obsedit: alisque spei suæ in sublime elatus subacturum omnino nullo labore promittebat. Probatis autem in adversum mœnium munimentis, urbisque ex populi copia et machinis securitate ac præsidio conspecto, spe deceptus, in locum Hebdomum dictum pacis oblaturus fœdera, reversus est. Procuratoribus pacem oblatam libenter excipientibus, Simeon Theodorum magistrum de illa tractaturum misit. Nicolaus autem patriarcha, Stephanus, et Joannes magister, imperatore secum ducto, Blachernas usque profecti, filios Simeonis geminos induxerunt in urbem, qui in palatiis una cum imperatore convivati sunt. Nicolao vero patriarchæ ad Simeonem accedenti, ipse Simeon caput inflexit. Patriarcha igitur super eum orationem fusurus, stemmatis vice proprium capitis tegumentum ejus imposuit capiti. Donis itaque immensis et quam maximis excepti, Simeon et ejus filii in patriam reversi sunt, ad invicem discordes ob præfatæ pacis conditiones. Constantino igitur imperatore, ceu puero propriam matrem requirente, eam enim longe prius Alexander imperator amoverat, rursus in palatium induxerunt. In hunc modum illa imperii compos, Constantinum accubitorem, alium Constantinum, et Anastasium fratres cognomento Gongylios in palatium accersit, ejectis, Joannis Eladæ consilio, Alexandri imperatoris domesticis et familiaribus, Joanne rectore, et Gabrielopulo, et Basilitze, et cæteris. Zoe autem Augusta Theophylactum Dominicum hetæriarcham instituit. Joannes autem Eladas morbo correptus et palatio digressus, cum ad Blachernas appulisset, morbo ingravescente moritur. Dominici porro et ejusdem mentis hominum consilio cum animi elatione Ecclesiæ (reipublicæ) administrationem sibi arrogabat **491** Zoe et curare se jactabat. Simeone vero Bulgarorum principe Thraciam iterum devastante, Augusta et imperii proceres de ejus jactantia reprimenda et placanda erant solliciti. His cognitis Joannes Bagas expetiit patricii dignitatem, et si postulata consequeretur, Patzinaces adductu-

FRANC. COMBEFISII NOTÆ.

πολλοὺς τῶν συγκλητικῶν cum Cedr. *Multos proceres, multos senatorii ordinis occisuri erant.* Mox iidem, καὶ τὸν υἱὸν αὐτῆς Στέφανον.

(13) Addunt alii, ὥς φασι, ut rem sola vulgi fama notam, minusque exploratam ostendant.

(14) Post Δομινίκου suppl. ex aliis, ἑταιριάρχου καταβιβάζει Ζωὴ Νικόλαον πατριάρχην ἅμα τοῖς σὺν αὐτῷ. *Dominici hetæriarchæ consilio Nicolaum patriarcham aula ejicit, cum indignatione dicens ut res suæ Ecclesiæ curaret.*

rum se pollicebatur: delatisque secum muneribus in Patzinacam regionem profectus est. Obsidibus inde abductis, cum illis in urbem appulit: Patzinacibus trajicere jam pollicitis, et Simeonem debellare. Accessit etiam ad urbem Asotius, vir peritia nominatissimus principis principum filius, quem virgam ferream duabus extremitatibus apprehensam tenentem ob robur invictum inflexisse, et ad circularem figuram traduxisse narrant, ferri duritia renitentiaque naturali robori manuum obsecuta. Eum advenientem multo cum honore exceperunt, et pari congratulatione in propriam regionem iterum remiserunt. Septembri mense, indictionis tertiæ, Pancrutucas Armenius Adrianopolim Simeoni prodidit. Haud diu post, Basilius patricius, et Canicles, et Nicetas protospatharius Helladicus cum donis multis ad Simeonem missi sunt, qui urbem iterum in suam potestatem receperunt. In Strobylum etiam insulam Ameras, bellicis navibus plurimis virtuteque non modica instructus appulit: eamque cepisset, nisi lapsus in morbum obiisset. Græciæ autem et Athenarum incolæ continuis a Chase filio Jubæ damnis affecti, ejus luxum et inexplebilem cupiditatem ferre non valentes, lapidibus obrutum ad ipsum Athenarum templi penetrale male peremerunt.

Imperatrix vero Zoe, cognita Simeonis superbia, et ejusdem odiis adversum Christianos non ignotis, habito cum optimatibus consilio, fœdus et pacem cum Agarenis componendam statuit, totumque Orientis exercitum ad debellandum et delendum Simeonem traducendum. Missus est autem in Syriam ad fœdus ineundum Joannes patricius Radenus: Michael vero Toxaras in Thraciam trajecit, magistro Leone Phoca domestici munus obeunte. Eductis autem venerabilibus et vivificis lignis a Constantino palatii sacerdote primore, Cephala dicto, et a Constantino e Malelia Thracica cuncti in terram prostrati, data juramenti fide se pro invicem commorituros, cum universis copiis in Bulgaros irruperunt. Præerant autem excubiti turmæ Joannes Grapson, Icanati, Marulis filius: Romanus autem Argyrus, et Leo ejus frater, et Bardas Phocas, quibus aderat Melias cum Armeniis, et aliorum
492 thematum præfecti, totum exercitum ducebant. Una cum aliis Constantinus etiam patricius Libs Leoni domestico junctus erat, et datus negotiorum omnium consiliarius. Mensis itaque Augusti die vicesimo, indictione quinta, ad Acheloum fluvium Bulgaros inter et Romanos bellum commissum est, et ut se habent Dei judicia, quæ omnino in-

A γενέσθαι πατρίκιος (15), ὑποσχόμενος ἀγαγεῖν Πατζινάκους. Τῆς αἰτήσεως τυχὼν, δῶρά τε πολλὰ λαβὼν εἰς τὴν τῶν Πατζινάκων χώραν ἀπῄει· καὶ δὴ ὁμήρους ἐκεῖθεν λαβὼν, ἤγαγεν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζινάκων διαπεράσαι, καὶ τὸν Συμεὼν καταπολεμῆσαι. Παρεγένετο δὲ ἐν τῇ πόλει καὶ Ἀσώτιος, ἀνὴρ ἐμπειρίᾳ ὀνομαστότατος, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων, ὃν φασι σιδηρᾶν ῥάβδον ἐκ τῶν ἄκρων ἑκατέραις χερσὶ κρατοῦντα τῇ ὑπερβαλλούσῃ ἀλκῇ διακάμπτειν, καὶ πρὸς τὸ κυκλικὸν σχῆμα μετάγειν τῆς ἀντιτύπου τοῦ σιδήρου φύσεως τῇ βίᾳ τῶν χειρῶν ὑπεικούσης· ὃν παραγενόμενον μετὰ πολλῆς τιμῆς ὑπεδέξαντο, καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐξέπεμψαν. Σεπτεμβρίῳ μηνὶ ἰνδι-
B κτιῶνος τρίτης Παγκρουτούκας ὁ Ἀρμένης τὴν Ἀδριανούπολιν τῷ Συμεὼν προδέδωκεν. Μετ' οὐ πολὺ δὲ ἀπεστάλησαν Βασίλειος πατρίκιος καὶ Κανίκλης, καὶ Νικήτας πρωτοσπαθάριος ὁ Ἑλλαδικὸς παρὰ Ζωῆς μετὰ δώρων πολλῶν, καὶ ἀντιπαρέλαβεν πάλιν αὐτήν. Ἦλθεν δὲ καὶ ἀμηρᾶς εἰς Στρόβηλον νῆσον μετὰ πλοίων πολεμικῶν καὶ πολλῆς δυνάμεως· καὶ ταύτην παρέλαβεν ἂν, εἰ μὴ νοσήσας ἐτελεύτησεν. Οἱ δὲ τῆς Ἑλλάδος καὶ τῶν Ἀθηνῶν οἰκήτορες συνεχῶς ἐπηρεαζόμενοι παρὰ Χασὲ υἱοῦ τοῦ Ἰούβη, τὴν αὐτοῦ ἀσωτίαν καὶ ἀπληστίαν μὴ ἐνεγκόντες, λίθοις τοῦτον βάλλοντες, ἀνεῖλον κακῶς ἔνδοθεν τοῦ θυσιαστηρίου τοῦ ἐν Ἀθήναις ναοῦ.

Βλέπουσα δὲ Ζωὴ ἡ βασίλισσα τὴν ἔπαρσιν Συ-
C μεὼν, καὶ τὴν κατὰ τῶν Χριστιανῶν αὐτοῦ ἐπίθεσιν, βουλὴν μετὰ τῶν ἐν τέλει βουλεύεται ἀλλάγιον καὶ εἰρήνην μετὰ τῶν Ἀγαρηνῶν διαπράξασθαι, διαπεράσαι δὲ πάντα τὸν τῆς Ἀνατολῆς στρατὸν πρὸς τὸ καταπολεμῆσαι καὶ ἀφανίσαι τὸν Συμεών. Ἀπεστάλη οὖν ἐν Συρίᾳ ἐπὶ τὸ ποιῆσαι ἀλλάγιον Ἰωάννης πατρίκιος ὁ Ῥαδηνὸς, καὶ Μιχαὴλ ὁ Τοξαρᾶς (16) πρὸς τὴν Θράκην διεπέρασεν, μαγίστρου Λέοντος τοῦ Φωκᾶ δομεστίκου (17) τυγχάνοντος. Ἐξαγαγόντων δὲ τὰ σεβάσμια καὶ ζωοποιὰ ξύλα Κωνσταντίνου τοῦ πρωτοπαπᾶ τοῦ παλατίου, τοῦ Κεφαλᾶ λεγομένου, καὶ Κωνσταντίνου τῆς Μαλελίας ἐν τῇ Θράκῃ, ἅπαντες προσκυνήσαντες καὶ ἐπομοσάμενοι συναποθνήσκειν ἀλλήλοις πανστρατὶ κατὰ Βουλγάρων ἐξώρμησαν. Ἦρχον δὲ τοῦ μὲν τάγμα-
D τος τοῦ ἐξκουβίτου, Ἰωάννης ὁ Γράψων, τοῦ Ἰκανάτου, ὁ τοῦ Μαρούλη υἱός· Ῥωμανὸς δὲ ὁ Ἀργυρὸς ἐστρατήγει, καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ, καὶ Βάρδας ὁ Φωκᾶς, οἷς συνῆν καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων, καὶ οἱ ἄλλοι πάντων στρατηγοὶ τῶν θεμάτων. Συνῆν δὲ πρὸς τοῖς ἄλλοις καὶ Κωνσταντῖνος πατρίκιος ὁ Λὶψ Λέοντι δομεστίκῳ συμβούλῳ [σύμβουλος] αὐτοῦ ἐν πᾶσι τοῖς ἀνήκουσιν ὤν. Μηνὶ δὲ Αὐγούστῳ εἰκάδι ἰνδικτιῶνος πέμπτης ὁ πόλεμος μεταξὺ Βουλ-

FRANC. COMBEFISII NOTÆ.

(15) Perperam expressum erat πατριάρχης: nec enim ea negotiatio erat ambiendo patriarchatui, aut tabulæ aliquæ ejusmodi nobis patriarcham produxerunt. De Patzinacibus, quamque eorum societas e re Romana foret, ipse multis Constantinus *De administrando imperio*.

(16) Post vocem Τοξαρᾶς suppl. ex aliis: Οὗ γεγονότος, τὴν συνήθη τῆς ῥόγας διανομὴν ποιησάμενοι ἐν τοῖς τάγμασι, ταῦτα δὲ ἀναλαμβανόμενοι σὺν τοῖς θέμασιν εἰς τὴν Θράκην διεπέρασαν. *Inita cum Saracenis pace, solitisque muneribus in milites erogatis, assumptis cohortibus una cum illis in Thraciam trajecerunt.*

(17) Δομεστίκου τῶν σχολῶν, Anonym. et Cedr.

γάρων τε καὶ Ῥωμαίων πρὸς τῷ Ἀχελώῳ (18) συγκεκρότητο παταμῷ, καὶ (οἷα τοῦ Θεοῦ κρίματα! ὡς ἀνεξερεύνητα καὶ ἀνεξιχνίαστα!) τρέπονται Ῥωμαῖοι πανστρατί· καὶ γέγονε φυγὴ καὶ φρικώδης ὀλολυγή, τῶν μὲν ὑπ' ἀλλήλων συμπατουμένων, τῶν δὲ ὑπὸ τῶν πολεμίων ἀναιρουμένων, αἵματός τε χύσις, οἷα ἐξ αἰῶνος οὐ γέγονεν. Λέων δὲ ὁ δομέστικος ἐν Μεσημβρίᾳ διεσώθη φυγών· ἐσφάγη δὲ Κωνσταντῖνος ὁ Λίψ, καὶ Ἰωάννης ὁ Γράψων, καὶ ἄλλοι τῶν ἀρχόντων ἱκανοί. Ἀπεστάλη δὲ τότε καὶ Ῥωμανὸς πατρίκιος καὶ δρουγγάριος τοῦ πλωΐμου μετὰ παντὸς τοῦ στόλου ἐν τῷ Δανουβίῳ ποταμῷ βοηθήσων Λέοντι τῷ Φωκᾷ (19). Ῥωμανοῦ δὲ καὶ Ἰωάννου τοῦ Βάρδα εἰς ἔριδας καὶ λογομαχίας ἐλθόντων, ὁρῶντες αὐτοὺς οἱ Πατζινάκοι πρὸς ἀλλήλους διαμαχομένους καὶ στασιάζοντας, ὑπεχώρησαν εἰς τὰ ἴδια, τοῦ πολέμου τέλος λαβόντος. Ὑποστρεψάντων (20) ἐν τῇ πόλει τοῦ τε Ῥωμανοῦ καὶ τοῦ Βαγᾶ [*superius* Βαδᾶ] τὰ κατ' αὐτῶν ἐκινήθη, καὶ εἰς τοσοῦτον κίνδυνον τὸν δρουγγάριον Ῥωμανὸν περιέστησαν, ὥστε καταδικάζουσαν ψῆφον ἀνήνεγκαν τῶν ὀφθαλμῶν στερηθῆναι, ὡς ὀμελείᾳ, μᾶλλον δὲ κακουργίᾳ μὴ διαπεράσαι τοὺς Πατζινάκους, ἀλλ' ὑποχωρήσαντας τάχιον, καὶ μηδὲ φεύγοντας, ἐν (21) τοῖς πλοίοις ὑποδεξάμενον. Καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ ἀπὸ Κωνσταντίνου τοῦ Γογγύλη καὶ Στεφάνου μαγίστρου, ὡς δυναμένων παρὰ τῇ Αὐγούστῃ, τὰ τῆς καταδίκης ἀνετράπη. Τῶν δὲ Βουλγάρων τῇ νίκῃ κατεπαρθέντων, καὶ ἐκστρατευσαμένων μέχρι τῆς πόλεως, ἐξῆλθε Λέων δομέστικος τῶν σχολῶν, καὶ Ἰωάννης ἑταιριάρχης, καὶ Νικόλαος υἱὸς τοῦ δουκὸς εἰς χώραν Θρᾳκῴαν, οὕτω λεγόμενον [λεγομένην] Κατασύρτας, ἅμα πλείστῳ λαῷ κατὰ Βουλγάρων. Τῇ δὲ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων, καὶ τοῦ δομεστίκου φυγόντος, ἐσφάγη ὁ Νικόλαος ὁ υἱὸς τοῦ δουκός, καὶ πολλοὶ ἕτεροι μετ' αὐτοῦ.

Θεόδωρος οὖν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς ὁρῶν Κωνσταντῖνον παρακοιμώμενον εἰς Λέοντα τὸν ἴδιον γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον, ὑπέθηκεν Κωνσταντίνῳ τῷ βασιλεῖ Ῥωμανὸν δρουγγάριον προβαλέσθαι (22), ὡς πατρικὸν αὐτοῦ δοῦλον καὶ εὔνουν τὰ πρὸς αὐτόν, ὡς ἂν ᾖ σὺν αὐτῷ, καὶ διαφυλάττει αὐτῷ [διαφυλάττῃ αὐτὸν], ἐν οἷς ἂν δέῃ σύμμαχον ἔχειν καὶ βοηθόν. Πολλάκις οὖν περὶ τούτου λαληθεὶς, Ῥωμανὸς ἀπείπατο. Γραμμάτιον οὖν ὁ βασιλεὺς Κωνσταντῖνος διαχαράξας γραφῇ, καὶ ὑπογραφῇ διασφαλισάμενος ἀπέστειλεν αὐτῷ, ὅπερ αὐτὸς ἐπὶ χεῖρας λαβών,

A scrutabilia et impervestigata, Romanorum copiæ omnes in fugam vertuntur: facta est, inquam, fuga et ululatus horrore plenus, aliis alios conculcantibus, plurimis etiam ab hostibus interfectis, eaque strages hominum edita, qualis a sæculo nusquam audita est. Leo domesticus in Mesembriam fugiens salutem nactus est: Constantinus autem Libs, et Joannes Grapson et procerum alii quam plurimi interfecti sunt. Eodem tempore Romanus patricius et navalis drungarius cum omni classe ad Danubium fluvium, Leoni Phocæ suppetias laturus, missus est. Romano vero et Joanne Bardæ filio in contentiones et verborum pugnas lapsis, Patzinaces ab invicem divisos et inter se disceptantes conspicati, ad propria redierunt: bellumque ejusmodi finem
B consecutum est. Romano vero et Baga in urbem reversis, de eorum dissidio quæstio mota est: et in illud periculi drungarium Romanum adduxerunt, ut adversam privationis oculorum sententiam in eum tulerint, quasi ejus incuria, magis autem animi pravitate, non trajecissent Patzinaces: ac licet fuga non fuissent usi, sensim tamen subduxissent se, quod navigiis eos non recepisset. Multam vero fuisset passus, nisi a Constantino Congyle et Stephano magistro plurima apud Augustam auctoritate pollentibus in contrarium versa esset sententia. Bulgaris tunc victoria elatis, et ad urbem usque copias educentibus, obviam processit scholarum domesticus Leo, et
C Joannes hetæriarcha et ducis filius Nicolaus ad eam Thraciæ regionem, cui nomen Catasyrtas, una cum copioso exercitu adversus Bulgaros instructo. Nocte autem ex inopinato irruentibus in eos Bulgaris, domestico fugam capiente, Nicolaus ducis filius, et cum eo alii plurimi interfecti sunt.

Theodorus itaque imperatoris Constantini pædagogus Constantinum accubitorem in Leonem proprium generum imperium transferre meditantem, animadvertens suggessit imp. Constantino, ut Romanum paternum famulum sibique benevolentia conjunctum crearet drungarium, ut semper adesset auxilio, servaret incolumem, et in omnibus, quibus opus foret, adjutorem et socium haberet. De his
D frequenter sermonem habente renitentem se præbebat Romanus. Quare Constantinus **493** libellum propria manu exaratum, subscriptione firmatum ad eum transmisit: quem cum manibus accepisset,

FRANC. COMBEFISII NOTÆ.

(18) Habet Cedrenus πρὸς τῷ Ἀχελώῳ φρουρίῳ, ex quo etiam Ortelius sibi oppidum facit in Bulgaria. Leoni consentit Anonymus ex quibus totaque serie corrigendus Cedrenus, qui hanc cladem non Romanorum habet, sed Bulgarorum. Τρέπονται κατὰ κράτος οἱ Βούλγαροι. Certe Ῥωμαῖοι· *Funduntur penitus Romani;* quorum et ipse stragem prosequitur.

(19) Post vocem τῷ Φωκᾷ, suppl., Ἀλλὰ καὶ Ἰωάννης ὁ Βαγᾶς καταγαγεῖν Πατζινάκους, κελευσθέντος τοῦ δρουγγαρίου Ῥωμανοῦ τούτους διαπεράσαι. *Joannes quoque Bagas qui Patzinaces adduceret, jusso Romano drungario eos trajicere.*

(20) Anonym. et Cedrenus emendate, τοῦ δὲ πολέμου τέλος λαβόντος, καὶ ὑποστρ. Et mox, Ἰωάννου τοῦ Βαγᾶ εἰς.

(21) Μὴ διαπεράσαντος τοὺς Πατζινάκους, ἀλλ' ὑποχωρήσαντα τάχιον, καὶ μηδὲ τοὺς φεύγοντας Ῥωμαίων ἐν. *Qui Patzinaces non trajecisset, sed citius se subduxisset, ac neque fugientes Romanos in naves suscepisset.*

(22) Κωνσταντίνῳ βασιλεῖ δρουγγάριον προσλαβέσθαι. Sic bene Anonym. et Cedr. *Romanum drungarium in aulam ascisceret,* non προβαλέσθαι, *drungarium crearet,* cum diu ante id ille muneris obiret.

Constantinum accubitorem et ejus consanguineos aggressurum se, cum opus foret, pollicitus est: fama igitur istiusmodi ubique sparsa, et Constantino accubitore Romanum, ut cum classe recederet, impellente, ipse in contrarium difficilem classis expeditionem, statuto militibus stipendio nondum exhibito, prætexere: Romano vero expeditionem instruente et classem præparante, processit Constantinus accubitor, ut classem solveret, animum suggesturus. Ipse autem servili habitu occurrit, et mandata promptius se exsecuturum pollicitus est. Accubitore deinde regredi parato, et num vultu speciosos animisque fortes viros haberet, qui regiam triremem remis impellerent, Romanum interrogante: confestim ille quosdam manus movere jam dispositos, ad se propius accedere jussit. Illi rei gerendæ conscii jamque Romani dromoni quam vicini manibus eum rapuerunt, et: Tollite illum, vociferati sunt. Derepente igitur sublatum in drungarii Romani triremem imposuerunt, et tenuerunt sub custodia, nullo comitum ejus propugnare vel defendere auso: quinimo cunctis fuga turpiter lapsis.

Istis ad Zoem Augustam delatis, illa Nicolaum patriarcham et optimates sibi bene affectos advocat, et ad Romanum mittit de rerum omnium gestarum ordine certior fieri sollicita. Illos vero ad eam proficiscentes lapidibus missis populus insectabatur. Postridie itaque egressa Zoe ad solare Bucoleontis horologium, filio et universis inclamabat: Quomodo rebellio hæc contigit? Ait ad illam Theodorus Constantini imperatoris pædagogus, Quod Leo Phocas Romanos perdiderit, et Constantinus accubitor subverterit palatium, contigerunt hæc. Imperator autem revocatam a matre, et ad se translatam imperii potestatem omnem declaravit, et Nicolaum patriarcham Stephanumque magistrum in palatio sibi adesse mandavit. Sequenti luce Joannem Tubacem, qui Zoem Augustam e palatio detruderet, misit. Illa cum ejulatu et lacrymis filium complexa ad maternam compassionem et dolorem movit: adeo ut imperator diceret, Matrem meam mecum esse sinite. Illi solo verbo petitam dimiserunt. Imperator autem et patriarcha Joannem Garidam ad se vocatum scholarum domesticum esse jusserunt, veriti ne Phocas Leo in rebellionem deficeret. Renuit ille munus subire, nisi Theodorum levirum Zuphinezeris **494** filium et Simeonem ejus filium hetæriarchem crearet. Juramentis igitur certior factus, in domum suam profectus est. Illi confestim consanguineos ejus e palatio deturbant, quos ad se confluentes ut Garidas conspexit, inusitato timore,

A ὑπέσχετο τὴν κατὰ τοῦ παρακοιμωμένου Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν, ὡς δέοι ποιήσασθαι. Τῆς φήμης οὖν ταύτης διαθεούσης, καὶ τοῦ παρακοιμωμένου Κωνσταντίνου καταναγκάζοντος Ῥωμανὸν ἀποκινῆσαι μετὰ στόλου, αὐτὸς προεφασίζετο, ὡς ἀδυνάτως ἔχει τοῦ ἀποπλεῖν, μὴ τοῦ στόλου τὴν νενομισμένην ῥόγαν λαβόντος. Ἐν τῇ ἐξαρτύσει δὲ ὄντος τοῦ Ῥωμανοῦ, καὶ τὰ πλοῖα εὐτρεπίζοντος, ἐξῆλθε Κωνσταντῖνος παρακοιμώμενος, ὡς ἐπισπουδάσων αὐτὸν τοῦ ἐκπλεῦσαι. Ὁ δὲ δουλικῷ τῷ σχήματι προϋπήντησεν, καὶ προθυμοποιήσειν τὸ κελευόμενον ἐπηγγέλλετο. Ὑποστρέψαι δὲ βουλομένου τοῦ παρακοιμωμένου, καὶ εἰ ἔχει ἄνδρας εὐειδεῖς καὶ γενναίους ἐπιτηδείους τὴν βασιλικὴν ἐρέττειν τριήρη εἰπόντος πρὸς Ῥωμανὸν, οὗτος B εὐθὺς ἔνευσε τούτους τῇ χειρὶ ἑτοίμους (25) οὖσι [ὄντας] πλησίον ἐλθεῖν. Οἱ δὲ τὰ τῆς βουλῆς ἰδόντες, ἔγγιστα ἤδη τοῦ δρόμωνος Ῥωμανοῦ γεγονότες, ἥρπασαν αὐτὸν ταῖς χερσὶν, καὶ, Ἄρατε αὐτὸν, ἐφώνησαν. Παραχρῆμα οὗτοι τοῦτον ἁρπάσαντες εἰς τὴν τοῦ δρουγγαρίου Ῥωμανοῦ τριήρη εἰσήγαγον, καὶ ἐν ἀσφαλείᾳ κατεῖχον. Οὐδεὶς οὖν ὁ ὑπερασπίζων ἦν πάντων τῶν συνόντων αὐτὸν [αὐτῷ] χρησαμένων φυγῇ.

Ταῦτα Ζωὴ Αὐγοῦστα μαθοῦσα προσκαλεῖται τὸν πατριάρχην Νικόλαον, καὶ τοὺς αὐτῆς μεγιστάνους, καὶ ἀποστέλλει πρὸς Ῥωμανὸν τὸ γεγονὸς βουλεμένη μαθεῖν. Τούτων δὲ διαπερασάντων, λίθοις ὁ λαὸς αὐτοὺς ἐξήλασεν. Ἕωθεν οὖν ἐξελθοῦσα Ζωὴ C ἐν τῷ τοῦ Βουκολέοντος ἡλιακῷ, ἐπεφώνει τῷ υἱῷ καὶ πᾶσι· Πῶς ἄρα γέγονεν ἡ ἀνταρσία αὕτη; Ἔφησεν δὲ πρὸς αὐτὴν ὁ παιδαγωγὸς τοῦ βασιλέως Κωνσταντίνου Θεόδωρος, ὅτι Διὰ τὸ ἀπολέσαι Λέοντα τὸν Φωκᾶν τοὺς Ῥωμαίους, καὶ Κωνσταντῖνον παρακοιμώμενον τὸ παλάτιον, ταῦτα γεγόνασιν. Προσελάβετο δὲ ὁ βασιλεὺς Νικόλαον τὸν πατριάρχην καὶ Στέφανον μάγιστρον συνεῖναι αὐτῷ ἐν τῷ παλατίῳ, τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀπὸ τῆς μητρὸς ἐπισπώμενον [ἐπισπώμενος]. Τῇ δὲ ἐπαύριον ἀπέστειλεν Ἰωάννην τὸν Τουβακῆν Ζωὴν Αὐγοῦσταν τοῦ παλατίου καταβιβάσαι. Ἡ δὲ μετ' ὀλολυγῆς δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ, πρὸς συμπάθειαν μητρικὴν καὶ οἶκτον ἐκίνησεν, ὡς τὸν βασιλέα εἰπεῖν· Ἐάσατε μετ' ἐμοῦ εἶναι τὴν μητέρα μου. Οἱ δὲ D ταύτην ἅμα τῷ λόγῳ ἀφῆκαν. Προσκαλεσάμενοι δὲ ὅ τε βασιλεὺς καὶ ὁ πατριάρχης Ἰωάννην τὸν Γαριδᾶν προεβάλοντο δομέστικον τῶν σχολῶν, δεδιότες μὴ εἰς ἀνταρσίαν χωρήσῃ ὁ Φωκᾶς Λέων. Ὁ δὲ οὐ κατένευεν τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον γυναικάδελφον αὐτοῦ τὸν Ζουφινέζερ καὶ Συμεῶνα τὸν υἱὸν αὐτοῦ προεβάλλετο ἑταιριάρχην. Ὅρκοις οὖν βεβαιωθεὶς ὑπ' αὐτῶν κατῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. Οἱ δὲ παραυτίκα τοὺς συγγενεῖς αὐτοῦ τοῦ παλατίου καταβιβάζουσιν. Τούτων οὖν πρὸς αὐτὸν παραγεγονότων,

FRANC. COMBEFISII NOTÆ.

(23) Τούτοις τῇ χειρὶ ἑτοίμοις οὖσι. Anonym. *Annuit his qui essent manu expediti*. Ex quo etiam et Cedr. suppl. ac emend. sequentia: Ῥωμανοῦ γεγονότος, ἐπειδὴ οὗτος ὄπισω τοῦ παρακοιμωμένου Κωνσταντίνου περιπατῶν ἀνήρπασεν αὐτὸν ταῖς... ἐφώνησεν, παραχρῆμα· *Cum jam Romanus celoci proximus esset, isque pone Constantinum accubitorem ambulans ipso manibus correpto, Tollite eum, exclamasset, statim illi sublatum in*, etc.

A ὡς ἐθεάσατο αὐτοὺς, τρόμος αὐτὸν ἔλαβεν καὶ φρενῶν ἔκστασις. Εὐθὺς οὖν ἐξῆλθε πρὸς Ῥωμανὸν, καὶ διηγήσατο αὐτῷ οἷα πέπονθεν. Συμφιλιωθεὶς οὖν αὐτῷ, καὶ ὅρκους δοὺς καὶ λαβὼν, ὥστε μίαν ἔχειν ἀμφοτέρους ψυχὴν, σύμφρων αὐτοῦ καὶ σύμπνους ἐγένετο, ὥστε καὶ γαμικὸν συνάλλαγμα ποιήσασθαι. συνεφώνησαν, πλέον ἐκ τούτου τὸν τῆς ἀγάπης δεσμὸν ἐπισφίγγοντες. Τῇ εἰκάδι οὖν τετάρτῃ τοῦ Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς Ἰωάννην πρεσβύτην αὐτοῦ οἰκεῖον καὶ πιστότατον ὄντα, καὶ Θεόδωρον, τὸν Ματζούκην λεγόμενον, εἰς τὸ παλάτιον, ὑπεραπολογησομένους, ὡς Οὐκ ἀντάρσία γέγονεν τὸ παρ' ἐμοῦ διαπραχθὲν, ἀλλὰ τὴν τοῦ Φωκᾶ ἐπίθεσιν ὑφορώμενος, καὶ δεδιὼς μή τι νεωτερισθείη παρ' αὐτοῦ εἰς τὸν βασιλέα, τούτου ἕνεκεν ἀνελθεῖν ἐν B τῷ παλατίῳ βεβούλευμαι, καὶ τὴν φυλακὴν ποιεῖσθαι τοῦ βασιλέως. Μὴ συνευδοκοῦντος δὲ Νικολάου πατριάρχου τούτῳ, ἐμηνύθη Ῥωμανῷ παρὰ Θεοδώρου τοῦ ῥηθέντος παιδαγωγοῦ ἐλθεῖν μετὰ τοῦ στόλου παντὸς μέχρι Βουκολέοντος· ὃς μετὰ τῶν σὺν αὐτῷ βουλευσάμενος [τὸ γὰρ ἄγον εἶχεν αὐτὸν (24)], τῇ ἡμέρᾳ τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου (πέμπτη δὲ ἦν) ἦλθεν ἅμα τῷ στόλῳ ἔνοπλος ἐν τῷ Βουκολέοντι. Καὶ παρευθὺ μὲν Στέφανος μάγιστρος ἐξῆλθεν τοῦ παλατίου· Νικήτας δὲ πατρίκιος ὁ συμπενθερὸς Ῥωμανοῦ ἀνελθὼν ἐν τῷ παλατίῳ, ἐξήγαγεν ἐκεῖθεν τὸν πατριάρχην Νικόλαον. Ὅρκοις οὖν βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ ἀπέστειλαν αὐτῷ τὸν τίμιον σταυρὸν, καὶ προσκυνήσας αὐτὸν, καὶ ὅρκῳ βεβαιώσας αὐτοὺς, ἀνῆλθεν μετ' C αὐτῶν ἐν τῷ παλατίῳ καὶ ὀλίγων τινῶν προσκυνήσων τὸν βασιλέα. Καὶ εἰσελθὼν μετ' αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ Φάρῳ, καὶ πίστεις αὐτῷ δοὺς καὶ λαβὼν, παρευθὺ προχειρίζεται παρ' αὐτοῦ μάγιστρος καὶ μέγας ἑταιριάρχης. Αὐτίκα γοῦν γέγονε θεία κέλευσις πρὸς Λέοντα τὸν Φωκᾶν παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι, ἀλλὰ πρὸς ὀλίγον ἐν τῷ ἰδίῳ οἴκοι [οἴκῳ] ἀναπαύεσθαι. Ὡσαύτως καὶ γράμματα ἐκελεύσθη Κωνσταντίνῳ παρακοιμωμένῳ (25) γράψαι τὰ ὅμοια αὐτῷ παραγγέλλοντα, καὶ μηδὲν ἐναντίον βουλεύσασθαι· ἀλλ' ἐν ὑποταγῇ εἶναι τοῦ βασιλέως Κωνσταντίνου. Ἀναλαβόμενος ταῦτα Ἀνδρέας πριμηκήριος τοῦ βασιλικοῦ βεστιαρίου ἀπεκόμισεν αὐτῷ ταῦτα ἐν Καππαδοκίᾳ ὄντι, καὶ ἀναδεξάμενος ταῦτα, ἀπελθὼν ἐν τῷ ἰδίῳ οἴκῳ, D ἡσύχαζεν. Τῇ δὲ πέμπτῃ ἑβδομάδι τῶν ἁγίων Νηστειῶν Ἀπριλλίῳ μηνὶ, δίδοται ἀρραβὼν γαμικῶν συναλλαγμάτων παρὰ Κωνσταντίνου βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ, καὶ τῇ τρίτῃ τοῦ Πάσχα τῇ λεγομένῃ τῆς Γαλιλαίας εὐλογεῖται καὶ στεφα-

mentisque stupore insolito correptus est. Confestim itaque Romanum adit, et quæ passus fuerat, exponit. Inita mox cum eo amicitia, et juramentis hinc inde datis et acceptis, et ut mentem unam haberent ad invicem polliciti, Romani propositum sequebatur, et consilium obibat: et ut eum strictiori amoris nexu devinciret, mutuo nuptiarum fœdere contracto, virum sibi promeruit. Mensis igitur Martii quarto supra vicesimum, Romanus Joannem presbyterum, domesticum suum sibi fidissimum, et Theodorum cognomento Matzucem in palatium legatos mittit, qui pro defensione loquerentur: Non hæc rebellio, quod a me gestum est, sed Phocæ molimina veritus, et ne circa imperatorem aliquid innovetur timens, idcirco palatium ingredi consilior, et custodiam imperatoris gerere. His Nicolao patriarcha non acquiescente a Theodoro, pædagogo dicto, significatum est Romano, ut cum omni classe ad Bucoleontem appelleret, et ejus sociis ipse consilium haberet: in magnam quippe animi anxietatem venerat. Annuntiationis sanctissimæ Deiparæ die, hebdomadis porro quintus erat, Romanus una cum classe armis instructus ad Bucoleontem appulit, et confestim Stephanus magister e palatio egressus est. Nicetas autem patricius Romani consocer in palatium profectus, Nicolaum patriarcham inde dejecit. Aulicorum animis Romani jurejurando firmatis, et veneranda cruce ad eum missa, ipse eam adorans, et interposito sacramento, mentis propositum obvelans, ipse cum eisdem paucisque suis imperatori reverentiam exhibiturus in palatium conscendit, et cum eo templum quod in Pharo est, ingressus, data et accepta securitatis fide, magister et magnus hetæriarcha ab imperatore confestim creatur. Eodemque momento sacrum mandatum ad Leonem Phocam missum, quo relicto seditionis commovendæ proposito, ad modicum tempus domi se contineret, injungebatur. Eum in sensum aliæ litteræ ad Constantinum accubitorem scribi jussæ sunt, rem eamdem, et ne quid in adversum moliatur, sed imperatori Constantino obsequens perseveret, commendantes. Sacras acceptas Andreas imperatoris vestiarii primicerius ad eum in Cappadocia tunc forte repertum, detulit, quibus lectis, domum **495** propriam se recipiens, quietem egit. Sacrorum autem Jejuniorum quinta hebdomade, mense Aprili, Helenæ Romani filiæ contractus nuptialis arrha a Constantino imperatore traditur, et tertia Paschatis

FRANC. COMBEFISII NOTÆ.

(24) Anonym., ἦγεν. Malim ἄγος, ut vocem εἶχεν retineamus; nec enim ita τὸ ἄγον, aut τὸ ἀγών quod emendat interpr. satis congruit: ut sit, *eum enim tenebat rei religio*; deterrebat piaculi conscientia, quod sic nempe in aulam irrumperet. Explicat Cedrenus vix a suis potuisse adigi ut rem præstaret, ac ad Bucoleonem cum classe accederet. Sin τὸ ἦγεν placeat, sic exponam, *Qui res agit, ac moderatur eum incitabat : urgebat fatum*, ut ita ad imp. apicem proveneretur; quod nec ipsum dissonat ab illa ejus cunctatione ac trepidatione, quam Dei decreto perurgente ita consilio superaverit.

(25) Ἐκελεύσθη Κωνσταντῖνος παρακοιμώμενος: Sic emend. ex Anonym., *Jussus est Constantinus accubitor in eam sententiam Leoni scribere* : cui nempe Leo gener majorem esset habiturus fidem. Non enim ad ipsum Constantinum scriptæ litteræ qui adhuc detineretur, ac spe meliori aleretur.

feria, Galilææ dicta, benedicitur: et cum ea nuptialibus corollis redimitur a Nicolao patriarcha, tuncque Romanus imperatoris Pater declaratur: et Romani vice Christophorus ejus filius hetæriarches instituitur.

Haud multo post, Leo Phocas a populo seductus, et a nonnullis procerum et legionum ei commendatarum militibus motus, tumultum excitavit, missoque nuntio Constantinum accubitorem, Constantinumque alterum, et Anastasium Γογγυλίους et fratres germanos, et Constantinum a secretis Maleliæ filium sibi ascivit, hoc cunctis insinuans et persuadens, motum omnem pro imperatoris Constantini obsequio excitari. Romanus autem imperatoris Pater bullis aureis tabulas insignitas et subscriptione firmatas, velut imperatoris nomine facinus hujusmodi attentatum repressuras edidit: quibus jubebatur, ut, Phoca deserto, qui ad imperatoris partes transirent, pro imperatore stare censerentur: easdem vero Annæ cuidam impudentis oris et profligatæ castitatis mulieri clericoque cuidam Michaeli, ut per adversarium exercitum spargerent, commendavit. Illi receptas litteras per omnem exercitum distribui curarunt: et Michael quidem in rei gestæ suspicionem veniens, crudeliter exceptus a Phoca, naribus et auribus præcisis mulctatus est, qui postmodum congruam a Romano consecutus est vicissitudinem, et pariter ea, quæ cum eo missa fuerat, mulier. Qui primus Phocam deseruit, et in Romani partes transiit, Barymichaelis filius exstitit, cladis adversæ et in contrarias partes se ditionis et tyrannidis auctor: comitem se præbuit Balantius, ambo turmarum præstantes præfecti. Leo Phocas vero cum exercitu omnium armorum genere fortiter instructo, Chrysopolim profectus, et Constantinopolis cives exterriturus, milites longo castrorum ambitu a Juvenca lapidea ad Chalcedonem usque locavit. Dum hæc gererentur a Romano, Simeon Caniclei præfectus celoce vectus, libellum imperatoris Constantini manu subscriptum delaturus mittitur. Hæc porro libellus enuntiabat: Ut imperii mei custodem vigilantissimum et fidelissimum e subditis præter Romanum nullum inveni. Huic post Deum custodiam meam commisi, et vice patris, quod viscera materna et propositum vere paternum in me exercuerit, habere constitui. Leonem Phocam in adversum imperio meo semper insidiantem
496 suspicatus, in illud machinari opere probavi, et in majestatem tyrannice rebellem comperi: quare domesticum amplius non esse decerno, neque tumultum hunc me volente commovisse, sed spontaneo consilio imperium sibi vindicantem hæc aggressum esse declaro. His ita coram populo lectis, subducere se cuncti, et Romano imperatoris Patri adhærere cœperunt. Phocas in angustias

A νοῦται ἅμα αὐτῇ παρὰ Νικολάου πατριάρχου Ῥωμανὸν βασιλεοπάτορα προβαλόμενος· ἀντ' αὐτοῦ δὲ Χριστοφόρον υἱὸν αὐτοῦ ἑταιριάρχην κατέστησεν.

Μετ' οὐ πολὺ Λέων ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἀπατηθεὶς παρά τε τινων ἀρχόντων καὶ τῶν αὐτοῦ ταγμάτων πρὸς ἀνταρσίαν κινεῖται, καὶ ἀποστείλας ἀνελάβετο εἶναι σὺν αὐτῷ τόν τε παρακοιμώμενον Κωνσταντῖνον, καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς Γογγυλίους καὶ αὐταδέλφους, καὶ Κωνσταντῖνον ἀσηκρῆτις τὸν Μαλελίας, πληροφορῶν ἅπαντας καὶ βεβαιῶν, ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτην ποιεῖται συγκίνησιν. Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσοβούλλια ποιήσας ἐνυπόγραφα, ὡς
B ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχοντα, καὶ ὡς οἱ τὸν Φωκᾶν καταλιμπάνοντες, τῷ βασιλεῖ δὲ προσφεύγοντες, ὑπὲρ τοῦ βασιλέως εἰσί, δοὺς αὐτὰ Ἄννῃ τινὶ γυναικὶ ἀναιδεῖ καὶ θρασείᾳ, καὶ κληρικῷ τινι Μιχαὴλ, ἐν τῷ αὐτῷ στρατοπέδῳ ἐξέπεμψεν. Οἱ δὲ ταῦτα ἀναλαβόμενοι, ἔστειλαν παντὶ τῷ στρατῷ. Καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς, παρὰ τοῦ Φωκᾶ ἀνηλεῶς τυφθεὶς, τήν τε ῥίναν [τάς τε ῥίνας] καὶ τὰ ὦτα ἀπετμήθη· ὃς μετὰ ταῦτα παρὰ Ῥωμανοῦ τῆς προσηκούσης ἔτυχεν ἀμοιβῆς· ὡσαύτως καὶ ἡ σὺν αὐτῷ σταλεῖσα γυνή. Πρῶτος ὁ υἱὸς τοῦ Βαρυμιχαὴλ καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχὴ γεγονὼς καταλύσεως τῆς τοιαύτης
C ἀνταρσίας καὶ τυραννίδος, σὺν αὐτῷ δὲ ὁ Βαλάντιος, τουρμάρχαι ὄντες ἀμφότεροι. Λέων δὲ ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἰσχυρῶς καθωπλισμένου ἐν Χρυσοπόλει καταλαβὼν, διέστησε παρατάξεις ἀπὸ τῆς λιθίνης Δαμάλεως μέχρι Χαλκηδόνος τοὺς ἐν τῇ πόλει φοβῶν. Ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμανοῦ Συμεὼν ὁ ἐπὶ κανικλείου λόγον ἐνυπόγραφον τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος τάδε διαγορεύοντα, ὡς Ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας ἐγρηγορώτατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὕρηκως, τούτου [τούτῳ] τὴν ἐμὴν φυλακὴν, μετά γε Θεὸν, κατεπίστευσα, καὶ ἀντὶ πατρὸς αὐτὸν ἔχειν ἔκρινα, σπλάγχνα μητρικὰ (26) καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον· Λέοντα δὲ τοῦτον τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ
D βασιλείᾳ ὑποπτεύειν [ὑποπτεύων] ἐπιβουλεύειν, νῦν ἔργοις αὐτοῖς ἐπίβουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς κατεξανιστάμενον· διὸ οὔτε δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν εἶναι βούλομαι, οὐδὲ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημὶ, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον. Τούτων οὖν τῷ λαῷ ἐπαναγνωσθέντων, ἤρξαντο πάντες ὑποχωρεῖν, καὶ τῷ βασιλεοπάτορι προσέρχεσθαι Ῥωμανῷ. Τοῦ δὲ Φωκᾶ εἰς ἀμήχανον περιστάντος καὶ ἀπογνόντος, ὡς πάσης ἐλπίδος ἠστοχηκότος καὶ χρησαμένου φυγῇ, καὶ πρὸς τὸ κάστρον (27) ἀπογνόντος ἀτελοῦς παρα-

FRANC. COMBEFISII NOTÆ.

(26) Melius Anonym., πατρικά.

(27) Πρὸς τὸ κάστρον Ἀτεοῦς παραγ. Sic et Anonym. et Cedren., *Veniens ad urbem Ateus nomine*: solo exscribentis errore ἀτελοῦς, quod nullo

γενομένου, καὶ μὴ δεχθέντος· ἐν χωρίῳ δὲ ὀνομαζομένῳ Γοηλέοντι φεύγοντι [φεύγοντος καὶ] συλληφθέντος· ἀπέστειλεν Ῥωμανὸς Ἰωάννην τὸν Τουβάκη, καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ, ὥστε εἰσαγαγεῖν αὐτὸν ἐν τῇ πόλει. Οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, καίτοι μηδεμίαν παρὰ [περὶ] τούτου δεξάμενοι ἐντολήν, ἀλλ' αὐθαιρέτῳ γνώμῃ τοῦτο πεποιηκότες, ὡς ἀγανακτῆσαι ἐπὶ τούτῳ καὶ βασιλεοπάτορα Ῥωμανόν. Αὐγούστῳ δὲ μηνὶ κατεμηνύθη τὰ τῆς ἐπιβουλῆς Κωνσταντίνου Κτηματηνοῦ, καὶ Δαβὶδ Καμουλιανοῦ, καὶ Μιχαὴλ κουράτωρος τῶν Μαγγάνων· καὶ τυφθέντες οὗτοι καὶ δημευθέντες, διὰ μέσης διῆλθον τῆς πόλεως, καὶ ἐν ἐξορίᾳ παρεπέμφθησαν. Ἤγαγον δὲ Λέοντα μάγιστρον καὶ δομέστικον τῶν σχολῶν ἐν τῇ πόλει, καὶ διῆλθεν ἐν μέσῃ τῇ ἀγορᾷ ἡμιόνῳ ἐφεζόμενος. Ἐφωράθη δὲ καὶ Ζωὴ Αὐγοῦστα ἐπιβουλεύουσα Ῥωμανῷ διὰ πεφαρμαγμένων βρωμάτων ὑπὸ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας σκευασθέντων· καὶ ταύτην τοῦ παλατίου καταβιβάζουσιν, καὶ εἰς τὸ Πετρίον ἀπάγουσιν, [*add.* ἐν τῇ] τῆς Ἁγίας Εὐφημίας μονῇ ἀποκείραντες. Προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου πατρικίου καὶ κόμητος τοῦ σταύλου εἰς ἄριστον ὁ παιδαγωγὸς Κωνσταντίνου βασιλέως Θεόδωρος, καὶ Συμεὼν ὁ αὐτοῦ ἀδελφός. Ἐσθιόντων δὲ αὐτῶν εἰσῆλθεν Ἰωάννης δρουγγάριος ὁ Κουρκούας μετὰ] πλείστου λαοῦ, καὶ τούτους ἀναρπάσας εἰς τὸ Ὀψίκιον ἐξώρισεν ἐν τοῖς αὐτῶν προαστείοις, ὡς κατὰ Ῥωμανοῦ μελετῶντας. Εἰκάδι δὲ τετάρτῃ Σεπτεμβρίου μηνὸς τῇ τοῦ Καίσαρος ἀξίᾳ, καὶ Δεκεμβρίῳ μηνὶ δεκάτῃ ἑβδόμῃ τῇ τῶν προπατόρων κυρίου τῷ τῆς βασιλείας στέφεται διαδήματι παρὰ Κωνσταντίνου βασιλέως καὶ Νικολάου πατριάρχου, καὶ τῇ τῶν ἁγίων Φώτων ἡμέρᾳ στέφει Θεοδώραν τὴν γυναῖκα αὐτοῦ. Μαΐῳ δὲ μηνὶ δεκάτῃ ἑβδόμῃ ἰνδικτιῶνος ε', Χριστοφόρος ὁ υἱὸς Ῥωμανοῦ ἀναγορεύεται βασιλεύς· στέφεται δὲ τῇ εἰκάδι τοῦ αὐτοῦ μηνὸς παρὰ Κωνσταντίνου βασιλέως τῇ τῆς ἁγίας Πεντηκοστῆς ἡμέρᾳ, καὶ μόνοι οὗτοι οἱ δύο ἐν τῇ αὐτῇ προελεύσει προσῆλθον (28).

Ἰουλίῳ δὲ μηνὶ ὀγδόῃ ἰνδικτιῶνος ἡμέρᾳ Κυρίου ἡ τῆς Ἐκκλησίας παρὰ Ῥωμανοῦ γέγονεν ἕνωσις, ἁπάντων ἑνωθέντων μητροπολιτῶν τε καὶ κληρικῶν, τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων. Ὀγδόῃ δὲ Φεβρουαρίου μηνὸς, ἰνδικτιῶνος δεκάτῃ ἐννάτῃ ἀποστείλας Ῥωμανὸς ὑπερορίζει τὸν μάγιστρον Στέφανον τὸν τῆς Καλομαρίας εἰς τὴν Ἀντιγόνου νῆσον, ὡς τῆς βασιλείας ἐφίεσθαι κατηγορηθέντα· πρῶτον αὐτὸν ἀποκείρας ἅμα Θεοφάνει Τειχειώτῃ καὶ Παύλῳ ὀρφανοτρόφῳ ἀνθρώποις αὐτοῦ. Ἐποίησεν Ῥωμανὸς βασιλεὺς ἐν τῷ Τριβουναλίῳ πρόκενσον, συνηγμένων ἁπάντων μεθ' ὅπλων. ἐκεῖσε. Τοῦ ἀδνουμίου δὲ γενομένου (29)

A deductus, omni spe lapsus est, quare fuga usus et de ingressu in urbem aliquam desperans, quod sine dignitatis titulo et viribus accederet, et forte non reciperetur, in locum cui Goeleon nomen, fugiens comprehensus est: exinde Romanus Joannem Tubacem et Leonem ejus cognatum hominem in urbem adducturos misit. Comprehensum itaque oculis privaverunt, nullo licet super hoc accepto jussu, sed spontanea voluntate ad hoc ducti: adeo ut imperatoris Pater Romanus de facinore tristatus fuerit. Mense autem Augusto Constantini Ctemateni, Davidis Camuliani, et Michaelis manganorum curatoris detectæ sunt insidiæ: quare etiam hi, bonis publicatis, verberibus affecti, et per mediam urbem traducti, in exsilium missi sunt. Leo- B nem insuper magistrum et scholarum domesticum in urbem induxerunt, qui mulo insidens per medium forum pertransiit. Delata est etiam Zoe Augusta, ut quæ Romano per cibos veneno infectos a Theocleto ministerii notario insidiaretur: quare hanc e palatio recedere coactam, in sanctæ Euphemiæ monasterio ad Petrium sito tonsis capillis monialem fecerunt. Theodorus autem Constantini imperatoris pædagogus et Simeon ejus frater, a Theophylacto patricio et stabuli comite ad convivium vocatus est. Recumbentibus illis, Joannes Drungarius Curcuas cum populi turba ingressus, raptos eosdem ad Opsicium eliminatos propriis in suburbanis, velut adversus Romanum machinatos C exsulare coegit. Quarto vero supra vicesimum Septembris mensis, Cæsaris dignitate, Decembris autem mensis decimo septimo, Christi Domini proparentum festo, imperii diademate a Constantino imperatore et Nicolao patriarcha Romanus ornatur; sanctorum deinde Luminum die Theodoram uxorem coronat; mox Maii mensis decimo septimo, indictione quinta, Christophorus Romani filius imperator renuntiatur: et ejusdem mensis vicesimo sanctæ Pentecostes die festo, a Constantino redimitur: istique duo soli ejusdem diei processu solemni per urbem progressi sunt.

Porro Julio mense, indictione **497** octava die Dominico totius Ecclesiæ a Romano inita est concordia, cunctis metropolitis et clericis, qui a Ni- D colai et Euthymii partibus divisis steterant animis, in consensionem redeuntibus. Mensis autem Februarii die octavo, indictione decima nona, mittens Romanus magistrum Stephanum Calomariæ filium in Antigoniam insulam exsulem ejecit, imperandi cupiditatis accusatum: cum prius una cum Theophane Tichiote et Paulo orphanotropho propriis domesticis in monachum detonsus fuisset. Cæterum Romanus imperator ad Tribunalium solemnem habens processum, cunctis armorum omni

FRANC. COMBEFISII NOTÆ.

sensu constat, ac redditum est. Διὰ πεφαρμαγμένων βρωμάτων· *Per cibos præparatos, veneno infectos.*

(28) Προελεύσει προῆλθον. Idem.

(29) *Facta militum recensione.* Est enim, inquit Suidas, ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις.

genere instructis, stipendiisque militibus erogatis, derepente Romanus præfatus, et Constantinus insusitata celeritate usi in palatium revertuntur: a Leone quippe Arsenii domestico, Arsenii ipsius et Pauli Manglanitæ conspiratio delata fuerat: ex quo verberibus acceptis, et bonis fisco addictis in exsilium translati sunt. Erat porro tunc ab imperatore proximus potestate Joannes presbyter et rector, qui Leonem Armenii filium hebdomadarium curavit fieri imperatori prius commendatum***. Bulgaris vero ad Catasyrtas usque post Adraletæ domestici mortem excurrentibus, Pothus Argiri filius scholarum domesticus creatus est. Hic ad Thermopolim copiis eductis Michaelem Moroleontis filium vices suas obeuntem, Bulgarorum motum exploraturum misit. Hic de improviso agmini eorum factus obviam, plurimos quidem occidit, vulneribus autem acceptis, in urbe postmodum vitam finivit. Eo tempore insidiæ adversus Romanum imperatorem structæ ab Anastasio sacellario et Aurificinæ principe, et Theodoreto cubiculario, et Demetrio regii fisci notario, et Nicolao Cubatzæ a Theocleto officii notario delatæ sunt: iidemque convicti verberibus pœnas dederunt, et per mediam urbem delati sunt. Theodoretus autem seorsim ad Trichoneum palatii plagis acceptis, in exsilium ejectus est: Anastasium autem sacellarium in Eliniorum monasterio cæsarie mulctavit; in quo et defunctus est. Romanus eo prætextu accepto, imperatorem Constantinum primatu deturbat, et secundum constituit; seipsum vero priorem præponit.

Simeon porro adversus Romanos exercitum rursus educit, militesque emissos contra urbem quamocius tendere imperavit. Illi per montes progressi Maglaba pervenerunt. Eorum adventu ab imperatore Romano cognito, ne Pegarum palatia per Stenum diffusi incenderent, Joannem rectorem una cum 498 Leone et Potho, dictis Argyris, ex regiis confœderatis et gregariis militibus copias secum habentibus misit, quibus insuper adjunctus est Alexias patricius, et Muzelæus classis drungarius, cum navali acie. Erat porro tunc Jejuniorum hebdomas quinta. Istis exercitum per turmas componentibus, Bulgarisque

A αἰφνίδιον Ῥωμανὸς καὶ Κωνσταντῖνος τάχει πολλῷ εἰς τὸ παλάτιον ὑποστρέφουσιν· ἐμηνύθη γὰρ παρὰ Λέοντος ἀνθρώπου τοῦ Ἀρσενίου ἡ αὐτοῦ τοῦ Ἀρσενίου ἐπιβουλὴ, καὶ Παύλου μαγλαβιτῶν (30)· οἱ τυφθέντες καὶ δημευθέντες ἐξωρίσθησαν. Ἦν τότε παραδυναστεύων Ἰωάννης ὁ πρεσβύτερος καὶ ῥαίκτωρ, ὃς Λέοντα τὸν τοῦ Ἀρμενίου ἐποίησεν ἑβδομάριον (31), τῷ βασιλεῖ τοῦτον προσοικειώσας. Τῶν δὲ Βουλγάρων πάλιν ἐξελασάντων μέχρι Κατασύρτων μετὰ τὴν τοῦ δομεστίκου Ἀδραλέτου τελευτὴν (32), προεβλήθη Πόθος ὁ τοῦ Ἀργυροῦ δομέστικος τῶν σχολῶν· καὶ μέχρι Θερμοπόλεως μετὰ τῶν ταγμάτων ἐξελθὼν ἀπέστειλεν Μιχαὴλ τὸν τοῦ Μωρολέοντος υἱὸν τοποτηρητὴν (33) ὄντα τοὺς Βουλγάρους κατασκοπήσοντα. Ὁ δὲ ἀπροόπτως B τῷ λόχῳ αὐτῶν ἐμπεσὼν, πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλεν, πληγεὶς δὲ αὐτὸς ἐν τῇ πόλει ἐτελεύτησεν. Ἐμηνύθη δὲ τότε παρὰ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας ἡ κατὰ Ῥωμανοῦ βασιλέως ἐπιβουλὴ Ἀναστασίου σακελλαρίου καὶ ἄρχοντος τοῦ χρυσοχόου, καὶ Θεοδωρήτου κοιτωνίτου, καὶ Δημητρίου νοταρίου βασιλικοῦ τοῦ ἰδικοῦ, καὶ Νικολάου τοῦ Κουβάτζη (34). Καὶ δὴ ἐλεγχθέντες ἐτύφθησαν, καὶ ἐν τῇ μέσῃ διῆλθον. Ὁ δὲ Θεοδώρητος ἰδίως ἐν τῷ λεγομένῳ Τρικόγχῳ τοῦ παλατίου τυφθεὶς, καὶ αὐτὸς ἐξωρίσθη. Τὸν δὲ σακελλάριον Ἀναστάσιον ἀπέκειρεν ἐν τῇ μονῇ τῶν Ἐλειμῶν (35)· ἔνθα καὶ τελευτᾷ. Τοιαύτης προφάσεως λαβόμενος Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ὑποβιβάζει (36), καὶ C δεύτερον καθίστησιν, ἑαυτὸν δὲ προάγει εἰς τοὔμπροσθεν.

Ἐκστρατεύει δὲ πάλιν Συμεὼν κατὰ Ῥωμαίων, καὶ πλῆθος Βουλγάρων ἀποστείλας ἐκέλευσεν κατὰ τῆς πόλεως ὡς τάχιστα ἐξελαύνειν. Διελθόντων οὖν διὰ τῶν ὀρῶν, ἦλθον μέχρι τῶν Μαγλαβᾶ. Τὴν αὐτὴν δὲ ἔφοδον μαθὼν ὁ βασιλεὺς Ῥωμανὸς, μὴ τὰ τῶν Πηγῶν παλάτια καὶ τὸ Στενὸν κατελθόντες ἐμπρήσωσιν, Ἰωάννην ῥαίκτορα ἀποστέλλει ἅμα Λέοντι καὶ Πόθῳ, τοῖς Ἀργυροῖς λεγομένοις, ἔχοντας μεθ' ἑαυτῶν πλῆθος ἔκ τε τῶν βασιλικῶν (37), καὶ τῶν τῆς ἑταιρίας, καὶ τῶν ταγματικῶν, οἷς συνῆν καὶ Ἀλέξιος πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Μουσελὲ μετὰ τοῦ λαοῦ αὐτοῦ. Ἦν δὲ τῶν D Νηστειῶν ἑβδομὰς πέμπτη. Διατάξαντες οὗτοι τὸν

FRANC. COMBEFISII NOTÆ.

(30) Παύλου μαγγλαβίτου. Cedren., Anonym.

(31) Minorem dicas cubicularium. Erant enim hebdomarii juvenes septimanatim cubiculo servientes, quibus præerant οἱ κοιτωνῖται seu κουβικουλάριοι· his ὁ προκαθήμενος. Superior omnibus erat ὁ παρακοιμώμενος. Qua de re bene Meursius ex Codino, ipsoque Constantino.

(32) Prosequuntur Anonym. et Cedren. quæ spectant ad Rentacium, ex quibus sarcienda erant, quæ librarii festinatione desunt in Leonis cod. Regio.

(33) Τὸ τοποτηρητὴν mihi suspectum, malimque cum Cedren., ταγματάρχην, *qui tribunus esset*: non qui Pothi vicarius. Hujus Pothi cum laude meminit auctor Vitæ Luc., junioris.

(34) Κουβάτζη, καὶ Θεοδότου πρωτοκαράβου. Anonym., *Theodoto protocarabo*, forte remigum principe, sive etiam ἀρχιθαλάσσου, quem admiralium vocamus.

(35) Cedrenus et Anonym., Ἐλέγμων.

(36) *Superiore gradu dejicit*, secundarum partium imperatorem facit. Sic enim multis Augustis penes unum prima erat, ac suprema auctoritas, reliquis eidem subjectis.

(37) Cedren., τῆς βασιλικῆς ἑταιρίας, non ita bene, quod et secutus interpr.; aperte enim distinguunt Leo et Anonym. Sint nobis οἱ βασιλικοὶ, quos peculiarius vocamus *domum regiam*, viros scilicet aulæ ministeriis regisque ipsius obsequiis addictos; quorum etiam partes non extremæ, quoties rege præsente nostri Marte decernunt.

λαὸν (38), τῶν Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων, καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ, παρευθὺ μὲν φεύγει Ἰωάννης ὁ ῥαίκτωρ, σφάττεται δὲ ὑπὲρ τούτου ἀγωνιζόμενος Φωτεινὸς, ὁ τοῦ Πλατυπόδη υἱὸς, καὶ πολλοὶ ἕτεροι. Μόλις οὖν διασωθεὶς εἰσῆλθεν εἰς δρόμωνα. Ἦλθεν δὲ φεύγων ἔνοπλος καὶ Ἀλέξιος ὁ Μουσελὲ δρουγγάριος, καὶ μὴ ἰσχύσας τέλειον ἀνελθεῖν ἐν τῇ τοῦ δρόμωνος ἀποβάθρᾳ, πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ πρωτομανδάτωρι, ἀπεπνίγη. Οἱ Ἀργυροὶ δὲ ἐν τῷ καστελλίῳ διεσώθησαν φεύγοντες. Οἱ δὲ Βούλγαροι μηδένα ἔχοντες κωλύοντα, τά τε παλάτια τῶν Πηγῶν ἐπυρπόλησαν, καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν. Εἰκάδι δὲ Φεβρουαρίου μηνὸς δεκάτης ἰνδικτιῶνος Θεοδώρα σύμβιος Ῥωμανοῦ τελευτᾷ, καὶ κατετέθη τὸ σῶμα αὐτῆς ἐν τῷ οἴκῳ αὐτοῦ (39). Τῷ δὲ αὐτῷ μηνὶ στέφεται Σοφία ἡ τοῦ βασιλέως Χριστοφόρου γυνή. Τηνικαῦτα δὲ κουροπαλάτης Ἴβηρ ἐν τῇ πόλει παρεγένετο, καὶ διὰ μέσης διελθὼν κεκοσμημένης (40) λαμπρῶς, ὃν καὶ ἐν τῇ Ἁγίᾳ τοῦ Θεοῦ Σοφίᾳ εἰσήγαγον· καὶ τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασάμενος, καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας, αὖθις ὑπέστρεψεν εἰς τὰ ἴδια.

Ἰουνίῳ δὲ μηνὶ τῶν Βουλγάρων πάλιν ἐκστρατευσάντων, καὶ μέχρι τῆς Ἁγίας Θεοδώρας παλατίων ἐλθόντων, καὶ ταῦτα πυρὶ παραδόντων, ἐξανιστάμενος ὁ βασιλεὺς Ῥωμανὸς, τοὺς τῶν ταγμάτων ἄρχοντας συνεκάλεσεν συνόντος αὐτῷ καὶ τοῦ λεγομένου Σακτίκη, καὶ παρῄνει τούτοις, καὶ προὐτρέπετο κατὰ τῶν ἐναντίων ἐξελθεῖν, καὶ τῆς πατρίδος ὑπεραγωνίσασθαι. Οἱ δὲ συνέθεντο ἑτοίμως ὑπὲρ τῶν Χριστιανῶν ἀποθνήσκειν. Τῇ οὖν ἐπαύριον καθοπλισθεὶς ὁ εἰρημένος Σακτίκης, ἀληθῆ οὖσαν τὴν ἑαυτοῦ πίστιν τε καὶ ἀνδρείαν ἀπέδειξεν. Ὄπισθεν γὰρ τῶν Βουλγάρων γενόμενος, καὶ εἰς τὸ στρατόπεδον αὐτῶν ἐμπεσὼν, πάντας τοὺς ἐκεῖ εὑρεθέντας κατέσφαξεν. Μαθόντες οὖν οἱ Βούλγαροι τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ, καὶ πολέμου συγκροτηθέντος τρέπουσιν τὸν Σακτίκην σὺν ὀλίγοις ὑπάρχοντα. Ὁ δὲ ἐπειδὴ γενναίως ἀγωνισάμενος καὶ πολλοὺς ἀνελὼν, οὐκ ἔτι ἀντέχειν ἠδύνατο πρὸς τὸ πλῆθος τῶν πολεμίων, μεθίησιν τοῦ ἵππου τὸν χαλινὸν, καὶ εἰς φυγὴν ἤλαυνεν· ποταμὸν δέ τινα ἐκεῖσε παραρρέοντα διαπερῶν, τοῦ ἵππου αὐτοῦ ἐν τῇ ἰλύϊ ἐμπαγέντος, τιτρώσκεται κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. Μόλις οὖν τοῦ ἵππου ἐκτὸς ἰλύος ἀνασπασθέντος, διασώζεται μέχρι τῶν Βλαχερνῶν, καὶ τεθεὶς ἐν τῇ ἁγίᾳ σορῷ, καιρίας τῆς πληγῆς οὔσης, τῇ νυκτὶ ἐτελεύτησεν. Ἀδριανὸς δέ τις Χάλδος, πρὸς

e superiore editiorique parte armata manu apparentibus, et incomposita tremendaque vociferatione usis, derepente Joannes rector fugam arripit; Faustinusque Platypodis filius pro eo decertans cum aliis plurimis interfectus est. Vix itaque periculo ereptus celocem ingressus est. Fuga quoque subduxit se Alexius armis omnibus munitus, et Alexius Muzelæus, drungarius. Qui cum ad celocis scalam commode conscendere nequiret, in mare cum protomandatore præcipitatus, profundo submersus est. Argyri vero ad castellum fuga sibi consuluerunt. Bulgari, nullum reperientes obvium, Pegarum palatia Steniique spatium omne igne immisso succenderunt. Februarii porro mensis die vicesimo, indictione decima, Theodora Romani consors moritur, corpusque illius domo depositum est; eodemque mense Sophia imperatoris Christophori conjux coronatur. Eo tempore Curopalates Iber in urbem advenit, et per medias ejus vias vestibus præclaris ornatus deductus est, et ad sanctam Dei Sophiam progressus, templi immanitatem et cultum contemplatus, variamque ejus supellectilem demiratus, in patriam reversus est.

Junio postmodum mense Bulgaris iterato bellum inferentibus, et ad sanctæ Theodoræ palatia penetrantibus, et eadem igne depopulatis, Romanus imperator, copiarum ducibus convocatis, Sactice dicto ei adhærente, sumptis animis milites hortabatur in hostes irrumpere, et pro patria præliari commonebat. Illi pro Christianis se mori paratos polliciti sunt. Postera igitur luce, præfatus Sactices armatus fidem a se datam veram et constantem demonstravit. Bulgaros quippe retro aggressus, et in eorum castra insiliens, cunctos ibi repertos trucidavit. Bulgari quod gestum erat percipientes in castra revertuntur, et consertis manibus Sacticem paucis comitatum terga dare cogunt. Ille fortiter præliatus multis hostium cecisis, totque aliis oppugnatus ut resistere non valeret amplius, equum laxatis habenis ad fugam impulit, fluviumque ibidem præterfluentem trajiciens, equo profundi limo infixo ad podicem et coxendicem vulneratur. Equo itaque limo **499** vix extracto ad Blachernas defertur, et sacro loculo impositus, plaga mortifera accepta, nocte mortuus est. Adrianus autem quidam Chaldus, nec non Tatzates Armenus, vir opulentus, consiliis et hortatibus Bardæ Boclæ, qui Chaldiensi militiæ præerat, tyrannidem et rebellionem adversus Romanum imperatorem excitant, et Paiper lo-

FRANC. COMBEFISII NOTÆ.

(38) Suppl. ex Anonym. et Cedren., ἐν τοῖς πεδινοῖς καὶ χθαμαλωτέροις τόποις τῶν Πηγῶν· *Instructo exercitu in campestribus ac depressioribus Pegarum locis.*

(39) Suppl. ex Anonym., τῷ ὑπ' αὐτοῦ μοναστήριον ἀμειφθέντι, *quam ille in monasterium mutaverat:* non enim in profana domo sepulta. Cedren., ἐν τῷ Μυρελαίῳ, quod ejus monasterii nomen est, ut et ipse Leo paulo post vocat.

(40) Nihil emend., sed addendum ex Anonym., μετὰ δόξης πολλῆς καὶ τιμῆς ὑπεδέχθη. *Medio foro splendide ornato transiens, multa cum gloria ac honore susceptus est.* Sicque et de S. Sophiæ ornatu prosequitur, Καλλωπίσαντες ταύτην, καὶ περιστείλαντες πέπλοις χρυσοϋφέσι, καὶ κόσμῳ παντοίῳ· *Magnifice ædem ornantes, auroque textis tapetibus ac velis parietes obcingentes, atque omnis generis cultum adhibentes.* Curopalata hic honoris titulus, non officium in aula.

cum munitissimum occupant: quos Joannes Curcuas, scholarum domesticus, cum debellasset, quosdam quidem tenuit, quorum illustriores, facultatibus eorum publicatis excæcavit, alios vero occidit. Tatzates autem alio validissimo loco fuga occupato, et securitatis fide accepta, in urbem reversus est, et manglabitæ dignitate honoratus in Manganorum palatio sub custodia servatus morabatur. Fugam autem machinatus oculorum lumine privatur, Bardam Boelam in monachum detondent. Patricio vero quopiam cognomine Moroleone, Adrianopoleos urbis duce, in rebus bellicis fortissimo et solertia præstanti, ut qui adversus Bulgariam facinora forti viro digna ostendisset plurima, Simeon Bulgarus cum omni exercitu dictam urbem obsedit, valloque circumducto validis armis pressit: frumento autem per urbem deficiente dura fames invasit, ex nulla quippe parte egestatis calamitate vexati annonam procurare valebant: quare seipsos et exercitus ducem Bulgaris tradiderunt, quem apprehensum Simeon, vinculisque per totum corpus circumdatum amara morte interfecit: commendataque Bulgaris urbis custodia in patriam se recepit. Leone Tripolita cum copioso exercitu bellicisque navibus in Romanos erumpente, et Lemnum insulam occupante, Joannes Radinus patricius et classis drungarius eum ex improviso aggressus est. Initoque certamine divinis auxiliis, qui comitabantur Agareni fusi sunt, solo Tripolita fuga servato.

A δὲ καὶ Τατζάτης Ἀρμένιος πλούσιος πάνυ, τῇ συνθήκῃ καὶ συμβουλῇ Βάρδα τοῦ Βοηλᾶ στρατηγοῦντος ἐν Χαλδίᾳ, τυραννίδα καὶ ἀνταρσίαν κατὰ Ῥωμανοῦ βασιλέως συσκευάζουσι, τὸ Παῖπερ τε λεγόμενον ὀχύρωμα κατασχόντες, οὓς ὁ δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κουρκούας καταπολεμήσας, τοὺς μὲν κατέσχεν, ὧν τοὺς περιφανεστέρους ἀποτυφλοῖ, τὰς οὐσίας δημεύσας (41). Τατζάτης δὲ ἐν ἑτέρῳ ὀχυρωτάτῳ καστελλίῳ διαφυγὼν, καὶ λόγον τοῦ μήτι κακὸν παθεῖν δεξάμενος ἐν τῇ πόλει εἰσεληλύθει, καὶ τῇ τοῦ μαγλαβίτου [μαγγλα-] ἀξίᾳ τιμηθεὶς, ἐν τῷ οἴκῳ τῶν Μαγγάνων διῃτᾶτο τηρούμενος. Δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται, καὶ τῶν ὀμμάτων στερίσκεται. Βάρδαν δὲ τὸν Βοηλᾶν ἀπέκειραν μοναχόν. Τοῦ δὲ Πατρικίου τοῦ ὄντος [καὶ] ἐπονομαζομένου B Μωρολέοντος (42) Ἀδριανουπόλεως στρατηγοῦντος, κρατίστου τὰ πολεμικὰ καὶ περιδεξίου τυγχάνοντος, ὃς πλείστας κατὰ Βουλγαρίας ἀνδραγαθίας ἐπεδείξατο, ὁ Βούλγαρος Συμεὼν σὺν παντὶ τῷ στρατεύματι τὴν εἰρημένην πόλιν περιεκύκλωσεν, καὶ χάρακα περιβαλὼν ἰσχυρῶς ταύτην ἐπολιόρκει. Ἐπεὶ δὲ ὅ τε σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει, καὶ λιμὸς ἐπίεζε χαλεπὸς (οὐδαμόθεν γὰρ εἶχον ἐπισιτίσασθαι), τῇ ἐνδείᾳ πιεζόμενοι, προδεδώκασιν ἑαυτούς τε καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις, ὃν χειρωσάμενος Συμεὼν, καὶ δεσμὰ καθ' ὅλου τοῦ σώματος περιβαλὼν, ἀπέκτεινεν θανάτῳ πικρῷ. Βουλγάροις οὖν τὴν τῆς πόλεως παραδοὺς φυλακὴν, ὑπεχώρησεν. Λέοντος δὲ τοῦ Τριπολίτου μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν κατὰ Ῥωμαίων ἐξελθόντος, καὶ ἐν τῇ νήσῳ Λήμνῳ καταλαβόντος, Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Ῥαδινὸς αἰφνίδιος ἐπέθετο αὐτῷ. Καὶ πολέμου γεγονότος Θεοῦ συνεργείᾳ οἱ ὑπ' αὐτὸν τρέπονται Ἀγαρηνοί· μόνος δὲ αὐτὸς Τριπολίτης φυγῇ διασωθείς.

Septembri vero mense, indictione secunda, Simeon Bulgariæ princeps, copiis omnibus eductis adversus Constantinopolim expeditionem parat. Inde Thraciam et Macedoniam depopulatur, incendia ubique spargit, evertit cuncta, et ad arbores usque exscindit. Ad Blachernas præterea provectus Nicolaum patriarcham et procerum quosdam, ut de pace conferrent, ad se mitti postulavit. Datis igitur ex parte utraque obsidibus convenerunt, prius quidem Nicolaus patriarcha, deinde Michael patricius Stypiotes, et Joannes Mysticus, qui ab imperatore secundas tenebat: jam quippe Joannes rector apud imperatorem calumniam passus, causatus ægritudinem palatium deseruerat: **500** postmodum autem in monasterio Galacrenis proximo detonsus est. Et hi quidem cum Simeone de pace tractatum habebant; Simeon autem retro eos amandavit, ipsum vero imperatorem videre expetiit, a multis de ejus prudentia fortitudine et solertia certior factus.

C Σεπτεμβρίῳ δὲ μηνὶ ἰνδικτιῶνος δευτέρας, Συμεὼν ὁ ἄρχων Βουλγαρίας πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκστρατεύει. Καὶ ληΐζεται μὲν Θρᾴκην τε καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα, καταστρέφει, καὶ δενδροτομεῖ. Μέχρι δὲ Βλαχερνῶν γενόμενος, ἐπεζήτησεν ἐπισταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων, ὥστε περὶ εἰρήνης αὐτοῖς συντυχεῖν. Ἔλαβον οὖν ὁμήρους ἀμφότεροι, καὶ ἐξῆλθον πρότερον μὲν ὁ πατριάρχης Νικόλαος, ἔπειτα Μιχαὴλ πατρίκιος ὁ Στουπιώτης, καὶ Ἰωάννης ὁ Μυστικὸς παραδυναστεύων. Ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, ἀσθένειαν προφασισάμενος τοῦ παλατίου κατεληλύθει, καὶ ἐν τῇ αὐτῇ μονῇ (43) πλησίον τῶν Γαλακρηνῶν ἀπεκάρη· οἱ μὲν οὖν μετὰ Συμεὼν περὶ εἰρή- D νης διελέγοντο· ὁ δὲ αὐτοὺς μὲν ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι. Παρὰ πολλῶν γὰρ πεπληροφόρητο περὶ τῆς αὐτοῦ φρονήσεως καὶ ἀνδρείας καὶ συνέσεως. Ὁ δὲ βασιλεὺς

FRANC. COMBEFISII NOTÆ.

(41) Τοὺς δὲ πενιχροὺς καὶ ἀσήμους, ἀθώους κελεύσας ὅπη βούλοιντο ἀπιέναι. Sic ex Cedren. plena littera, non ita supplenda ut interpres effudit: *alios vero occidit*. Imo, *Pauperes reliquos atque obscuros quo collibitum esset innocuos abire jussit.* Sic fere durius habitis capitibus, mitiores victores multitudini.

(42) Seq. ex Anonym. et Cedren. supplenda, τοῦ οὕτως ἐπονομαζομένου Μωρολέοντος, ἢ μᾶλλον εἰπεῖν οἰκειότερον Θυμολέοντος. *Patricio sic appellato Moroleon, vel ut magis proprie loquar Thymoleon, quasi dicas, vir leonini pectoris*, etc.

(43) Anonym., Αὐτοὺς μὲν ἀπεπέμψατο.

σφόδρα ἐπὶ τούτῳ ἠγαλλιάσατο· ἐπόθει γὰρ τὴν εἰρήνην, καὶ τὰς γενομένας (44) τῶν αἱμάτων ἐκχύσεις ὁσημέραι. Ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην (45) ὥστε τὴν βασιλικὴν τριήρη διεκπλέουσαν αὐτῇ προσορμίζεσθαι. Περιφράξας οὖν αὐτὴν πάντοθεν διατείχισμα, μέσον γενέσθαι προσέταξεν, ἐν ᾧ ἀλλήλοις ἔμελλον ὁμιλεῖν. Ἀποστείλας οὖν Συμεὼν τὸν τῆς ὑπεραγίας Θεοτόκου ναὸν ἐνέπρησεν τὸν ἐν τῇ Πηγῇ καὶ τὰ πέριξ αὐτοῦ σύμπαντα, δῆλος ὢν ἐντεῦθεν μὴ τὴν εἰρήνην ἑλὼν, ἀλλ' ἐλπίσι μετεώροις τοῦτον ἐξαπατῶν. Παραγενόμενος δὲ ἐν Βλαχέρναις ὁ Βασίλειος [βασιλεὺς] ἅμα Νικολάῳ τῷ πατριάρχῃ ἐν τῇ ἁγίᾳ εἰσῆλθεν σορῷ, καὶ τὰς χεῖρας ἐξέτεινεν εἰς εὐχήν. Εἶτα πρηνὴς πεσὼν δάκρυσι τὸ ἅγιον κατέβρεχεν ἔδαφος τὴν πανάχραντον Θεοτόκον ἀντιβολῶν B τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ ὑπερηφάνου Συμεὼν μαλάξαι καρδίαν, καὶ πεῖσαι τὰ πρὸς εἰρήνην. Καὶ τὸ ἅγιον κιβώτιον διανοίξαντες, ἔνθα τὸ σεπτὸν τῆς ἁγίας Θεοτόκου τεθησαύριστο ὠμοφόριον· τοῦτο ὁ βασιλεὺς ἀνελόμενος, καὶ τὴν πίστιν τὴν ὑπὲρ εἰς τὴν ἄμωμον (46) Θεοτόκον, οἷα περικεφαλαίαν τινὰ περιθέμενος, ἐξῄει τοῦ ναοῦ ὅπλοις ἀσφαλέσι φραξάμενος, τὸν σὺν αὐτῷ στόλον, ἀσπίσι τε καὶ ὅπλοις κομίσας [κοσμήσας], τὸν ὡρισμένον τόπον κατέλαβεν συνομιλῆσαι τῷ Συμεών. Πέμπτῃ οὖν ἡμέρᾳ ὅτε ταῦτα ἐγένετο, ἐννάτῃ τοῦ Νοεμβρίου μηνὸς τετάρτῃ τῆς ἡμέρας ὥρᾳ, παρεγένετο Συμεὼν πλῆθος ἄπειρον ἐπαγόμενος, τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ ἀργυρασπίδων καὶ ἀργυροδοράτων, C τῶν δὲ πάσῃ ὅπλων χρείᾳ κεκοσμημένων, πάντων καταπεφραγμένων σιδήρῳ· οἱ μέσον αὐτῶν διειληφότες τὸν Συμεὼν, ὡς βασιλέα, εὐφήμουν τῇ Ῥωμαίων φωνῇ. Πάντες δὲ οἱ τῆς συγκλήτου βουλῆς τοῖς τείχεσιν ἐφεστῶτες κατεθεῶντο τὰ δρώμενα. Ἦν οὖν τότε ἰδεῖν ψυχὴν βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα, καὶ θαυμάσαι τὸ τοῦ φρονήματος ἀκατάπληκτον, ὅπως τοσαύτην πολεμίων βλέπων ἐπιφορὰν, οὐ κατεπλάγη καὶ συνεστάλη καὶ ὑπεχώρησεν· ἀλλ' ὥσπερ εἰς φίλων πλῆθος χωρῶν οὕτως ἀτρέμας ἀπῄει, μονονουχὶ τὴν ψυχὴν τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς ἀντίλυτρον. Πρῶτος οὖν ἐν τῇ ῥηθείσῃ ἀποβάθρᾳ καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο. Ἐπεὶ δὲ ὅμηροι ἐξ ἀμφοτέρων ἐλήφθησαν, καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διερευνήσαντο ἀκριβῶς μή D πώς τις δόλος, ἢ ἔνεδρα τυγχάνῃ· κατῆλθεν Συμεὼν τοῦ ἵππου, καὶ πρὸς τὸν βασιλέα εἰσῆλθεν. Ἀσπασάμενοι οὖν ἀλλήλους, εἰρήνης λόγους ἐκίνησαν. Εἰπεῖν δὲ λέγεται τὸν βασιλέα πρὸς Συμεών· Ἀκήκοά σε θεοσεβῆ ἄνθρωπον καὶ Χριστιανὸν ὑπάρχοντα ἀληθινόν· βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα. Ἴδιον μὲν γὰρ θεοσεβοῦς ἀνθρώπου καὶ Χριστιανοῦ τὸ τὴν εἰρήνην καὶ τὴν ἀγά-

A Valde lætatus imperator postulatum admisit, pacis quippe cupiditate ducebatur, et effusum quotidie sanguinem deplorabat. Ad littus itaque Cosmidii machinam in mari validissimam excitari jussit: ad quam triremem regiam remis rectam facile esset deducere, septoque munitissimo eam circumvallans spatium ejus medium ita disponi præcepit, ut in ea ad invicem de pace colloquerentur. Simeon autem missis militibus, sanctissimæ Deiparæ ad Pegem templum combussit, et loca circumposita devastavit, a pace alienum se, sed vana tantum spe imperatorem deludere, inde significans. Imperator una cum patriarcha Nicolao ad Blachernas et sanctum loculum progressus, ad preces manus extendit, deinde pronus in terram cadens sacrum lacrymis pavimentum irrigavit, Deiparam a labe immunem obtestatus, ut inflexum et rigidum superbi Simeonis emolliret cor, et quæ sunt pacis inspiraret: sacroque scriniolo, quo venerandæ sanctæ Deiparæ vestis reposita est, aperto, illam inde sublatam ex fide qua in immaculatam Dei Genitricem pollebat, velut galeam capiti circumponens imperator firmissimis armis munitus, classi viæ comite clypeis et armis adornata ad præfixum locum cum Simeone tractaturus accessit. Quinto igitur die quo hæc facta sunt, Novembris mensis die nono, hora diei quarta Simeon immensa exercitus plebe circumstipatus processit. Militum alii aureis clypeis et deauratis hastis, alii argenteis clypeis pariter et hastis argento rutilantibus, alii quoque omni armorum genere ornati, cuncti autem ferro circumcincti, medium admiserunt Simeonem, quem Græcis pronuntiatis, ceu imperatorem faustis prosequebantur acclamationibus. Senatorii porro ordinis viri muris innixi quæ fiebant contemplabantur. Spectatu verò dignissima res fuit animus ille imperatoris dignus et excelsus, mira res illa mentis nullo pacto motæ constantia, quæ tantum percipiens hostium appulsum, nullo modo consternata aut repressa est: sed nec retrocessit, quin imo velut in amicorum cœtum se conferret, sic intrepidus processit, tantum animam subditorum salutis pretium hostibus non offerens. Prior itaque ad dictam machinam perveniens Simeonem præstolabatur. Ut obsides ex 501 utraque parte dati sunt: Bulgari vero ne quis dolus aut insidiæ laterent, machinam diligenter perscrutati sunt: Simeon equo desiliens ad imperatorem accessit, dataque invicem salute, pacis tractatum moverunt. Imperator dixisse fertur ad Simeonem: Virum Dei cultorem et vere Christianum audivi te: verum opera verbis nullatenus consonantia in te perspicio. Proprium enim viri Dei

FRANC. COMBEFISII NOTÆ.

(44) Καὶ τὸ στῆναι τὰς γινομένας. Anonym., *Quotidianas cædes volens compescere*; modum eis ac finem adhibere.

(45) Ὀχυρωτάτην ἀπόβασιν. Idem, ut et Cedren., *Tutissimum septum*; *exscensionem*, machinam ad id comparatam, ut ex navi in eam descenderetur, exque ea tuto colloquium haberetur.

(46) Τὴν εἰς ὑπεράμωμον, et mox, τὸν σὺν αὐτῷ οὖν στόλον, κατακοσμήσας. Anonym., Cedren.

cultoris et Christiani est pacem et charitatem amplecti, siquidem Deus charitas est et dicitur, impii vero et infidelis est cædibus et cruore injuste fuso gaudere. Igitur si vere te Christianum profiteris, sicut certo tenemus, compesce tandem cædes injustas, et scelesta sanguinis effusione abstine, et nobiscum Christianis, cum ipse Christianus sis et nomineris, pacis fœdus percute; et Christianorum dexteras unius fidei Christianorum sanguinibus ne permittas pollui. Homo quippe es, et mortem ipse et resurrectionem et operum retributionem præstolaris: hodieque cum exsistas, crastinus dies in pulverem te resolvet: febris vel unica omnem exstinguet jactantiam. Quam igitur ad Dei tribunal constitutus pro cædibus injustis Deo reddes rationem? quo vultu in tremendum et justum judicem oculos intendes? Si divitiarum cupiditate ductus hoc agis, ego ad satietatem usque, eo quod desideras, implebo. Solum contine dexteram, amplectere pacem, dilige concordiam, ut et tu vitam agas tranquillam et sollicitudinis expertem, et calamitatibus non nihil Christiani subleventur. Nefas enim est adversus ejusdem fidei homines te arma movere. His dictis imperator tacuit. Simeon, ejus moderationem et ejus sermones cum verecundia miratus, pacem componi annuit. Cum igitur sibi invicem vale dixissent, a se mutuo disjuncti sunt, imperatore magnificis muneribus Simeonem cumulante. Quod vero tunc accidit narrabo prodigium eorum etiam, qui hæc dijudicant fidem exsuperans. Principibus quippe ad invicem colloquentibus, aquilas duas desuper ipsos volasse præstoque advenisse, et ad invicem commistas dicunt: et confestim ab invicem disjunctas, hanc quidem ad urbem advolasse, aliam vero in Thraciam alarum opere delatam. Qui hæc curiosius indagant, omen judicavere non faustum; discordes quippe, et pace infecta recessuros divinabant. Simeon collecto exercitu, coram optimatibus imperatoris solertiam et moderationem exposuit.

Decembris autem mensis die vicesimo quinto filios suos Stephanum et Constantinum Romanus **502** imperii corona cinxit: sed et Theophylactum filium clericum totondit patriarcha, et subdiaconum ordinavit, tandemque syncellum promovit, cum prius ad sanctum Ingressum cum subdiaconis allectus processisset. Aprilis vero mensis die vicesimo nono Joannem Mysticum patricium Romanus proconsulem designavit. Mensis vero Maii die decimo quinto, indictione tertia, mortem obiit Nicolaus patriarcha, post secundam renuntiationem throno potitus annos tredecim, ejusque corpus in Galacrenarum monasterio ab eo condito depositum est. Augusto deinde mense Stephanus Amaseæ metropolita, eunuchus, initiatus est patriarcha. Post hæc mense

A πην ἀσπάζεσθαι· εἴπερ ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ λέγεται. Ἀσεβοῦς δὲ καὶ ἀπίστου τὸ χαίρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως ἐκχεομένων [ἐκχεομένοις]. Εἰ μὲν οὖν ἀληθὴς Χριστιανὸς ὑπάρχεις, καθὼς πεπληροφορήμεθα, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων ἐκχύσεις, καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν τὴν εἰρήνην, Χριστιανὸς ὢν καὶ αὐτὸς, καὶ ὀνομαζόμενος· καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. Ἄνθρωπος εἶ καὶ αὐτὸς θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ ἀνταπόδοσιν. Σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς χόνιν διαλυθήσῃ. Εἷς πυρετὸς ἅπαν κατασβέσει τὸ φρύαγμα. Τίνα οὖν λόγον δώσεις τῷ Θεῷ ἐκεῖ ἀπελθὼν ὑπὲρ τῶν ἀδίκων σφαγῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσεις
B κριτῇ; Εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε κατακόρως τοῦ ἐπιθυμουμένου ἐμπλήσω, μόνον ἐπίσχες τὴν δεξιάν· ἄσπασαι τὴν εἰρήνην, ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀπράγμονα, καὶ οἱ Χριστιανοὶ παύσωνταί ποτε τῶν συμφορῶν. Οὐ θέμις γὰρ αὐτοὺς αἴρειν ὅπλα καθ' ὁμοπίστων. Τοσαῦτα οὖν εἰπὼν ὁ βασιλεὺς, ἐσίγησεν. Αἰδεσθεὶς οὖν Συμεὼν τὴν τούτου ταπείνωσιν, καὶ τοὺς λόγους αὐτοῦ, ἐπένευσεν τὴν εἰρήνην ποιήσασθαι. Ἀσπασάμενοι οὖν ἀλλήλους διεχωρίσθησαν δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιωσαμένου τὸν Συμεῶνα. Ὃ δὲ τότε συμβέβηκεν, διηγήσομαι τεράστιόν τι, καὶ τοῖς τὰ τοιαῦτα συγκρίνειν εἰδόσι παράδοξον. Δύο φασὶν ἀετοὺς τῶν
C βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι, ἦξαι (47) τε καὶ πρὸς ἀλλήλους συμμίξαι, καὶ παραυτίκα διαζευχθῆναι ἀλλήλων· καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην διαπτῆναι. Τοῦτο οἱ ἀκριβῶς τὰ τοιαῦτα σκοποῦντες, οὐ καλὸν ἔκριναν οἰωνόν. Ἀσυμβάτους γὰρ ἐπὶ τὴν εἰρήνην διαλυθήσεσθαι ἔφησαν. Συμεὼν δὲ τὸ ἑαυτοῦ στρατόπεδον καταλαβὼν τοῖς ἑαυτοῦ μεγιστᾶσιν τὴν τοῦ βασιλέως ἀπήγγειλεν σύνεσιν καὶ ταπείνωσιν.

Δεκεμβρίῳ δὲ μηνὶ εἰκάδι πέμπτῃ ἔστεψεν Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ Στέφανόν τε καὶ Κωνσταντῖνον, ἀλλὰ καὶ Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ ὁ πατριάρχης ἀπέκειρεν κληρικὸν, χειροτονήσας ὑποδιάκονον, σύγκελλόν τε
D προχειρισάμενος, διελθόντα πρότερον ἐν τῷ τῶν ὑποδιακόνων τάγματι εἰς τὰ Ἅγια. Ἀπριλλίῳ δὲ μηνὶ εἰκοστῇ ἐνάτῃ ἐτίμησεν Ῥωμανὸς Ἰωάννην Μυστικὸν πατρίκιον ἀνθύπατον (48). Μαΐῳ δὲ μηνὶ δεκάτῃ πέμπτῃ ἰνδικτιῶνος τρίτης (49) τελευτᾷ τὸν βίον ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ δευτέρᾳ αὐτοῦ ἀναβάσει ἔτη δεκατρία· καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ τῶν Γαλακρηνῶν. Αὐγούστῳ δὲ μηνὶ πατριάρχης καθίσταται Στέφανος Ἀμασίας μητροπολίτης, εὐνοῦχος ὑπάρχων. Ὀκτω-

FRANC. COMBEFISII NOTÆ.

(47) Melius Anonym., χλάγξαι τε.

(48) Μυστικὸν καὶ παραδυναστεύοντα πατρίκιον καὶ ἀνθύπατον. Sic bene Continuator et Cedren., ut tantus hic dignitatum cumulus invidiam provocaverit.

(49) Sic et Cedren.; at melius Continuat., ιγ', *indictione tertiadecima*, non, *tertia*.

βρίῳ δὲ μηνὶ κατηγορήθη ὁ Μυστικὸς Ἰωάννης, καὶ A παραδυναστεύων ὡς τῆς βασιλείας ἐφιέμενος, ὑποθήκῃ τοῦ πατρικίου καὶ λογοθέτου τοῦ δρόμου Κοσμᾶ διδόντος εἰς γυναῖκα την θυγατέρα αὐτῷ. Τούτου ἕνεκεν καταβιβάζεται μὲν τοῦ παλατίου, ἐγχωρεῖται δὲ προσέρχεσθαι, καὶ τῷ βασιλεῖ ὑπηρετεῖν, καὶ σὺν αὐτῷ τὰ ἀνήκοντα διοικεῖν. Στοργὴν γὰρ ὅτι πλείστην ἐκέκτητο ὁ βασιλεὺς πρὸς αὐτόν. Τῶν κατηγόρων οὖν κατεπειγόντων τὸν βασιλέα, ἐρευνήσας ὁ βασιλεὺς, καὶ ἀληθῆ ταῦτα εἶναι μαθὼν, ἔμελλε τοῦτον κατασχὼν ἀνετάζειν. Ὁ δὲ τοῦτο προγνοὺς χρῆται φυγῇ· καὶ τὴν λεγομένην Μονοκάστανον καταλαβὼν, ἀποκείρεται μοναχός. Πέφευγε δὲ καὶ Κωνσταντῖνος ὁ τοῦ Βοηλᾶ, ὁ [*add.* ἐπὶ] τῆς τραπέζης, οἰκεῖος καὶ φίλος ὢν αὐτῷ· καὶ τὸν Ὄλυμπον καταλαβὼν, τὸ μοναχικὸν σχῆμα ἐνδύεται. B Ἐδεδοίκει γὰρ καὶ αὐτὸς, ἅτε συμμύστης τυγχάνων τοῦ Μυστικοῦ, καὶ τῶν ἀπορρήτων αὐτοῦ (50) κοινωνός. Τὸν δὲ πατρίκιον Κοσμᾶν ἐν τῷ Ὡρολογίῳ τύψας ὁ βασιλεὺς διεδέξατο. Προβάλλεται δὲ ἀντὶ τοῦ Μυστικοῦ Ἰωάννου Θεοφάνην πρωτοβεστιάριον καὶ παραδυναστεύοντα. Ἐγένετο δὲ τὸ τηνικαῦτα καὶ σεισμὸς φοβερὸς ἐν τῷ τῶν Θρᾳκώων θέματι, καὶ χάσμα γῆς μέγα καὶ κατάπληκτον, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας αὐτάνδρους καταποθῆναι.

Μαΐῳ δὲ μηνὶ εἰκάδι ἑβδόμῃ δεκάτης πέμπτης ἰνδικτιῶνος Συμεὼν ὁ ἄρχων Βουλγαρίας ἐτελεύτα, Πέτρον υἱὸν αὐτοῦ προβαλλόμενος ἄρχοντα, ὃν ἐκ τῆς δευτέρας αὐτοῦ ἔσχεν γυναικὸς τῆς ἀδελφῆς Γεωρ- C γίου τοῦ Σουρσουβούλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν καταλέλοιπεν. Τὰ κύκλῳ οὖν ἔθνη τὴν τοῦ Συμεὼν μαθόντα τελευτὴν ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο. Λιμοῦ δὲ σὺν ἀκρίσιν τὸ Βουλγαρικὸν ἔθνος ἐκπιέζοντος, ἐδεδίεισαν τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. Βουλὴν οὖν ποιησάμενοι, κατὰ Ῥωμαίων ἐκστρατεύουσιν, καὶ ἐν Μακεδονίᾳ καταλαμβάνουσιν. Ἔπειτα μαθόντες ὅτι μέλλει κατ' αὐτῶν ὁ βασιλεὺς Ῥωμανὸς ἐκστρατεύειν, ἀποστέλλουσι Πέτρον τε καὶ Γεώργιον κρυφίως τινὰ μοναχὸν, Καλοκύριν ὀνομαζόμενον, τῷ γένει Ἀρμενιακὸν, χρυσόβουλον ἐπιφερόμενον. Διηγόρευε δὲ τὰ ἐν αὐτῷ, ὡς τὴν μετὰ Ῥωμαίων εἰρήνην ἀσπάζονται οὐ μόνον, ἀλλὰ καὶ γαμικὸν ποιῆσαι συνάλλαγμα. Τὸν D τοιοῦτον οὖν μοναχὸν ὁ βασιλεὺς ἀποδεξάμενος ἀσμενέστατα, παρευθὺ ἀπέστειλεν μετὰ δρόμωνος ἐν Μεσημβρίᾳ τὸν μοναχὸν Θεόδωρον τὸν Ἀβούκην, καὶ Βασιλικὸν κληρικὸν τὸν Ῥόδιον τὴν εἰρήνην συλλαλῆσαι τοῖς Βουλγάροις. Οἱ δὲ παραγενόμενοι, καὶ τὰ εἰκότα συλλαλήσαντες, ἐξῆλθον ἅμα Στεφάνῳ Βουλγάρῳ διὰ τῆς ξηρᾶς. Ὄπισθεν δὲ αὐτῶν κατέλαβεν καὶ Γεώργιος ὁ Σουρσουβούλης, καὶ παραγενόμενοι ἐν Κωνσταντινουπόλει τὴν εἰρήνην ἐσπείσαντο. Θεασάμενοι δὲ τὴν θυγατέρα Χριστοφόρου βασιλέως Μαρίαν, καὶ μεγάλως ἐπ' αὐτῇ ἀρεσθέντες, ἔγραψαν τῷ Πέτρῳ διὰ τάχους παραγενέσθαι. Τοῦ Βουλγάρου δὲ Πέτρου καταλαβόντος, τριήρεις ὁ βασιλεὺς Ῥω-

Octobri Joannes Mysticus, et post imperatorem administrator, velut imperii affectati, suggestu patricii et logothetæ publici cursus Cosmæ, qui filiam uxorem ei locaverat, accusatus est. Hujus gratia palatio quidem extruditur, ad eum tamen liber illi servatur accessus, et obsequendi imperatoris jussis, et cum eo quæ opus foret administrandi potestas permittitur, Ingens quippe imperatoris erat in eum affectus. Accusationem porro coram imperatore urgentibus adversariis, examine habito, ut vera esse quæ objicerentur cum imperator agnovit, detentum interrogare proposuerat. Qua re prævisa, fugam prior arripit, et in monasterium nomine Monocastanum secedens, monasticam suscipit tonsuram. Fugit pariter Constantinus Boelæ filius mensæ præfectus, familiaris, et ei bene affectus: et in Olympum montem digressus, monastico induitur habitu: timebat enim ipse ceu consiliorum Mystici conscius, et secretorum ejus omnium particeps. Patricium autem Cosmam magistratu exauctoratum ad Horologium verberibus imperator emendavit: Joannis vero Mystici vices obiturus Theophanes protovestiarius et imperii administrator promovetur. Tunc in provincia Thraciæ terræ motus horrendus factus est, hiatusque stuporem afferens, ita ut plura prædia et ecclesiæ cum hominibus absorpta sint.

Maii porro mensis die vicesimo septimo, indictione quinta, Simeon Bulgarius princeps diem obiit, Petro filio, quem ex secunda conjuge suscepit, sorore videlicet Georgii Surzubulis, quem filiis procuratorem dedit, principe relicto. Exinde circumpositæ regiones, audita Simeonis morte, adversus Bulgaros arma suscipere meditabantur. Fame autem una cum locustarum pernicie Bulgarorum terras depascente, Romanorum timuerunt incursus. Habito itaque consilio **503** adversus Romanos ipsi armantur, et per Macedoniam effundunt exercitum. Cum audissent vero Romanum imperatorem copias in eos parantem, Petrum, et Georgium quemdam monachum, cognomine Calocyrim, genere Armenium auream bullam ferentem latenter delegant. Bullæ series erat: Bulgaros non pacem modo cum Romanis amplecti, sed et connubiorum fœdera prosequi. Monachum hujusmodi cum imperator lubentissime suscepisset, celocem expediit confestim, et monachum Theodorum Abucem, et regium clericum Rhodonatum, ut de pace cum Bulgaris tractarent, Mesembriam destinavit. Illi profecti, et negotiis accommoda collocuti, una cum Stephano Bulgaro per continentem iter egerunt. Retro eos Georgius Sursubules appulit, et Constantinopolim cuncti convenientes, pacis fœdera sanxerunt. Mariam vero, Christophori imperatoris filiam, contemplati, et ejus summopere delectati aspectu, Petro scripserunt, ut quamtocius accederet. Petro Bulgaro adveniente, conscensis triremibus ad Blachernas imperator Romanus se contulit: viditque Petrum, et salutavit

FRANC. COMBEFISII NOTÆ.

(50) Τῶν ἀπορρητοτέρων αὐτοῦ, ut et alii.

Ut vero de negotiorum difficultatibus convenerunt, conscriptis pacis conditionibus, nuptiales contractus peregerunt. Octobris deinde mensis die octavo progressus patriarcha Stephanus una cum Theophane protovestiario et Maria Christophori imperatoris filia, et universo senatu ad sanctissimæ Deiparæ templum ad Pegas, Petrum et Mariam conjugali benedictione sociavit : mensaque sumptuosa et magnificentissima instructa, cunctisque ad nuptiarum solemnia spectantibus rite splendideque peractis, Theophanes protovestiarius una cum Maria imperatoris filia in urbem reversus est. Die autem nuptias sequente tertio Romanus imperator in machina, sive tabulato ad Pegas magnificum paravit convivium. Non minima porro contentione a Bulgaris excitata, ut prius Christophorus, deinde Constantinus acclamationum precibus exciperetur, votis eorum imperatore obsecuto, quod petebant præstitum est. Nuptiarum autem celebritate peracta, Mariaque in Bulgariam iter capessere jamjam parata, Hebdomum usque parentes eam comitati prosecuti sunt, ibi in eam circumfusi, et largo lacrymarum impluvio madidi, ut dilectorum præcordiorum usu orbis contingere solet, tristabantur : tandemque generum, filia ejus potestati tradita deosculati, in regiam reversi sunt. Sic Maria Bulgarorum manibus tradita in Bulgariam profecta est.

A μανὸς ἐπιβὰς ἐν Βλαχέρναις παρεγένετο, καὶ τὸν Πέτρον ἐθεάσατό τε καὶ κατησπάσατο. Ἐπεὶ δὲ ἀλλήλοις τὰ εἰκότα συνωμίλησαν, γράφοντες τὰ σύμφωνα τῆς εἰρήνης, καὶ τὰ γαμικὰ ἀλλάγματα. Ὀγδόῃ δὲ τοῦ Ὀκτωβρίου ἐξῆλθεν ὁ πατριάρχης Στέφανος ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ καὶ Μαρίᾳ τῇ τοῦ βασιλέως Χριστοφόρου θυγατρὶ καὶ πάσῃ τῇ συγκλήτῳ εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου τῆς Πηγῆς, καὶ εὐλόγησεν Πέτρον τε καὶ Μαρίαν. Λαμπρᾶς δὲ καὶ πολυτελοῦς γενομένης τραπέζης, καὶ πάντων τῶν εἰθισμένων τοῖς γάμοις φαιδρῶς ἐπιτελεσθέντων, εἰσῆλθεν Θεοφάνης πρωτοβεστιάριος ἅμα Μαρίᾳ τῇ θυγατρὶ τοῦ βασιλέως ἐν τῇ πόλει· τῇ δὲ τρίτῃ τοῦ γάμου ἡμέρᾳ ἐποίησεν ὁ βασιλεὺς Ῥωμανὸς εὐωχίαν λαμπρὰν ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ. B Τῶν δὲ Βουλγάρων ἔνστασιν οὐ μικρὰν ποιησαμένων πρότερον εὐφημεῖσθαι Χριστοφόρον, εἶθ' οὕτω Κωνσταντῖνον, ὑπεῖξεν τῇ ἐνστάσει ὁ βασιλεὺς, καὶ γέγονεν ὅπερ ᾐτήσαντο. Ἐπειδὴ δὲ πάντα ἐν τοῖς γάμοις συνετελέσθησαν, καὶ ἔμελλε Μαρία τὴν πρὸς Βουλγαρίαν ὁδὸν ὁδεύειν, οἱ ταύτης γονεῖς μέχρι τοῦ Ἑβδόμου συνεξῆλθον αὐτῇ, περιχυθέντων τῇ θυγατρὶ, καὶ πολλὰ κατέχεαν τὰ δάκρυα, καὶ ὡς εἰκὸς ἐπὶ στερήσει σπλάγχνου πεποθημένου τόν τε γαμβρὸν ἀσπασάμενοι, καὶ ταύτην ταῖς τούτου χερσὶ περιθέμενοι ἐν τοῖς βασιλείοις ὑπέστρεψαν. Μαρία δὲ Βουλγαρικαῖς παραδοθεῖσα χερσὶν τὴν ἐπὶ Βουλγαρίαν ἀπῄει.

Eo tempore legati **504** pacis fœdera compositurì e Melitine ad imperatorem Romanum accesserunt. Non diu post Apocaps Amer nepos Melitines Ameras, et Apolasath dux nobilissimus et ditissimus Melitinæ advenit. Isti congruis honoribus a Romano excepti, pacis conditionibus firmatis, in patriam reversi sunt. Apocaps autem viro prudente et sagaci vivis erepto, pacem continuo dissolverunt. In eos autem irrumpunt scholarum domesticus Joannes Curcuas, una cum legionibus, et Melias cum adjunctis sibi Armenis : et ad eas angustias Melitinem adigunt, ut eam e vestigio vastent, et funditus ad solum evertant. Melitinem igitur in curatoriam instituit imperator, plurimis auri et argenti millibus annuatim colligendis eidem impositis. Nicetas autem magister et Christophori imperatoris socer quasi in patrem insurgendi consilium dedisset, et eum imperio dejicere consuluisset, accusatus est. Eum propterea urbe pulsum detonderunt monachum.

Τότε δὲ πρέσβεις πρὸς τὸν βασιλέα Ῥωμανὸν ἐκ C Μελιτινῆς παρεγένοντο εἰρηνικὰς σπονδὰς ποιῆσαι. Μετ' οὐ πολὺ Ἀπόχαψ ὁ τοῦ Ἀμὲρ ἔκγονος ἀμηρᾶς τῆς Μελιτινῆς, καὶ Ἀπολασὰθ (51) στρατηγὸς εὐγενέστατος καὶ πλούσιος ὢν ἐκ Μελιτινῆς παρεγένετο. Ἀποδεχθέντες οὖν μετὰ τῆς προσηκούσης τιμῆς παρὰ Ῥωμανοῦ, καὶ σύμφωνα εἰρήνης ποιήσαντες, ὑπέστρεψαν πρὸς τὰ ἴδια. Τελευτήσαντος δὲ τοῦ Ἀπόχαψ ἀνδρὸς φρονίμου καὶ συνετοῦ, διέλυσαν τὴν εἰρήνην. Ἐκστρατεύουσι δὲ κατ' αὐτῶν, ὅ τε δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κουρκούας μετὰ καὶ τῶν θεμάτων, καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων· καὶ εἰς τοσαύτην στένωσιν τὴν Μελιτινὴν περιέστησαν, ὥστε αὐτὴν συντομώτατα ἐκπορθηθῆναι, καὶ ἐπ' ἐδάφους καταστρέψαι. Ταύτην οὖν Μελιτινὴν εἰς κουρατωρίαν ἀποκαταστήσας ὁ βασιλεὺς, πολλὰς χι- D λιάδας χρυσίου καὶ ἀργυρίου ἐκεῖθεν δεσμοφορεῖσθαι ἐτησίως πεποίηκεν. Κατηγορήθη δὲ Νικήτας ὁ μάγιστρος καὶ πενθερὸς Χριστοφόρου βασιλέως, ὡς ὑποτιθέμενος αὐτῷ κατὰ τοῦ ἰδίου γενέσθαι πατρὸς, καὶ τῆς βασιλείας αὐτὸν ἐξεῶσαι. Τοῦτον οὖν ἐξαγαγόντες τῆς πόλεως ἀπέκειραν μοναχόν.

Mensis autem Julii die decimo octavo, indictione sexta, Stephanus patriarcha moritur : tum Decembri mense Tryphonem monachum, pietatis et sanctitatis testimonio insignem, ordinant patriarcham, donec ætatis metam imperatoris Romani filius Theophylactus, quem Constantinopolis patriacham creare

Μηνὶ δὲ Ἰουλίῳ ὀγδόῃ καὶ δεκάτῃ ἰνδικτιῶνος ἕκτης τελευτᾷ Στέφανος πατριάρχης· Δεκεμβρίῳ δὲ μηνὶ ἄγουσι Τρύφωνα μοναχὸν ἐπ' εὐλαβείᾳ καὶ ἁγιότητι μαρτυρούμενον, καὶ χειροτονοῦσι πατριάρχην, μέχρις ἂν εἰς μέτρον ἡλικίας φθάσῃ ὁ Θεοφύλακτος, ὁ Ῥωμανοῦ τοῦ βασιλέως υἱὸς, ὃν ἔμελλον

FRANC. COMBEFISII NOTÆ.

(51) Anonym., Ἀποσαλάθ. Cedren., Ἀποσβλάθ, quod affinius Continuatori, exque eo tantisper depravatum. Ex eo statim suppl. post vocem εἰρήνην, οἱ Μελιτινὴν κατοικοῦντες.

πατριάρχην χειροτονεῖν Κωνσταντινουπόλεως. Εἰκάδι δὲ πέμπτῃ τοῦ αὐτοῦ μηνὸς χειμὼν μέγας γέγονεν, ὥστε κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ἑκατὸν εἴκοσι. Ὅθεν καὶ γέγονεν μέγας λιμὸς καὶ θάνατος πολὺς, ὥστε μὴ δύνασθαι τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας. Ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὴν ἀφόρητον ἐκείνην βίαν κατανοήσας, ἀξίαν τῆς αὐτοῦ συμπαθοῦς ἐλεημοσύνης (52) πρόνοιαν ἐποιήσατο, πολλαῖς ἐλεημοσύναις τὴν ἐκ τοῦ λιμοῦ παραμυθησάμενος ἔνδειαν· ἀνέφραξέ τε θυρίσι καὶ σανιδώμασι τὰς τῶν ἐμβόλων στοὰς, ὥστε μὴ τὴν χιόνα καὶ τὸ ψύχος ἐκεῖθεν ἐπεισιέναι τοῖς πένησι. Τότε δὲ καὶ τὰς λεγομένας ἄρκλας (53) ἐν πᾶσι κατεσκεύασε τοῖς ἐμβόλοις, ἀργύριόν τε κατὰ μῆνα τοῖς ἐνταῦθα κατακειμένοις πένησι δίδοσθαι διετάξατο, καὶ τὰ μηνιαῖα τριμήσια (54) ἐν ταῖς ἐκκλησίαις τοῖς πένησι διανέμεσθαι· ὡς εἶναι τὰ διδόμενα τοῖς τε ἐν ταῖς ἄρκλαις πτωχοῖς καὶ τοῖς ἐν ταῖς ἐκκλησίαις, ἀργύρου ἐγκεχαραγμένου χιλιάδας δώδεκα. Καὶ ταῦτα ἡ συμπαθὴς ἐκείνου ψυχὴ διετύπωσεν τῶν πενήτων προνοουμένη. Ἀλλὰ καθ' ἡμέραν τρεῖς αὐτῷ συνεσθίειν πένητας διετάξατο, οἳ ἀνὰ ἓν ἐλάμβανον νόμισμα. Τετράδι δὲ, καὶ παρασκευῇ τρεῖς πένητες μοναχοὶ τούτῳ συνήσθιον τὸ τετυπωμένον λαμβάνοντες νόμισμα. Ὅπερ δὲ ἐν τοῖς μοναστηρίοις εἴωθεν γίνεσθαι, ὥστε ἐν τῷ καιρῷ ἀναγινώσκειν τῆς ἑστιάσεως, τοῦτο καὶ αὐτὸς ἐποίει, διπλῆν ἑαυτῷ καὶ τοῖς δαιτυμόσι τὴν τράπεζαν παρατιθεὶς, ὥστε τὸ μὲν σῶμα τρέφεσθαι τῇ συνήθει τροφῇ (55), τὴν δὲ ψυχὴν κατενύσσετο, καὶ πολλὰς δακρύων ἠφίει πηγάς. Οὐκ ἐθεάσατό ποτε μοναχὸν ἀρετῆς ἀντεχόμενον, ᾧτινι τὰς ἑαυτοῦ πράξεις σὺν πολλοῖς οὐκ ἐξηγόρευσεν δάκρυσιν. Πάσας τὰς τῆς πόλεως ἐκκλησίας πέπλοις διαφανέσι καὶ φωταγωγίαις λαμπρῶς κατεκόσμει. Ἀλλὰ καὶ τοῖς ἐν ὄρεσι μοναχοῖς τῷ τε Ὀλύμπῳ καὶ τῷ Κυμηνῷ καὶ τῷ τοῦ Βαραχαίου ὄρει οὐ διέλιπεν ἐτησίως ῥογὰς ἐξαποστέλλων, ἃς διετύπωσεν. Ταῦτα ὡς ἐκ πολλῶν ὀλίγα τῶν ἀπείρων αὐτοῦ κατορθωμάτων καὶ ἐλεημοσυνῶν διεξήλθομεν.

Πέτρῳ δὲ τῷ Βουλγάρῳ ἐπέθετο Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ μετὰ καὶ ἑτέρων Βουλγάρων τοῦ Συμεὼν (56). Καὶ φωραθέντων αὐτῶν, ὁ μὲν Ἰωάννης τύπτεται καὶ ἐγκλείεται φυλακῇ· οἱ δὲ λοιποὶ τιμωρίαις οὐ ταῖς τυχούσαις ὑποβάλλονται. Ταῦτα δὲ δῆλα ποιήσαντος Πέτρου τῷ βασιλεῖ Ῥωμανῷ, ἀπέστειλεν ὁ βασιλεὺς τὸν μοναχὸν Ἰωάννην, ὃς ἐγεγόνει ῥαί-

A statuerant, attigisset. Vicesimo porro et quinto die mensis ejusdem adeo aspera invaluit hiems, ut terra per dies centum et viginti gelu concresceret. Ex quo fames ingens, et mortalitas immensa pervagata est, adeo ut vivi mortuis efferendis non sufficerent. Romanus autem imperator intolerandam illam calamitatem contemplatus, affectus ad misericordiam proclivis digna exhibuit argumenta, eleemosynarum liberalitate plurima famis indigentiam consolatus. Exinde porticuum spatia tabulatis distinxit, et fenestras apposuit, ita ut nix et frigus in pauperes per ea non ingruerent. Eo tempore cunctis in porticibus arclas, ita dictas, disposuit, et egenis ibidem jacentibus argenteos nummos per menses singulos præcepit distribui, et menstrua B trimitia per ecclesias in alios pauperes dividi : adeo ut quæ per arclas et ecclesias erogarentur argenti cusi numismata, ad millia duodecim numerarentur. Hæc in misericordiam et pietatem propensus ejus animus liberalis pauperum provisor donari sanxit. Egenos insuper tres diebus singulis secum comedere voluit, singulisque nummum unum distribuebat. Feria vero quarta et Parasceve, monachi tres egentes illi convivabantur, qui definitum accipiebant 505 numisma. Quod in monasteriis observari solet, ut cibi tempore habeatur lectio, hoc ipse exsequebatur, sibi convivisque geminam apponens mensam : dumque usitato corpus enutriretur cibo, copioso lacrymarum fonte effuso animam quoque cum contritione C pascebat. Nullum unquam monachum virtutis studiosum observavit, cui cum multo fletu suos non aperuerit actus : cunctas urbis ecclesias sumptuosis vestibus, præclaraque cereorum et lampadum copia exornavit. Sed et monachis in montibus Olympo, Cymena et Barachæo vitam agentibus annua stipendia quæ decreverat mittere non desiit. Atque hæc pauca ex innumeris ejus liberalitatis beneficiis collegimus.

Petro vero Bulgaro parabat insidias Joannes ejus frater cum Bulgaris aliis : quorum facinore cognito, Joannes quidem verberibus castigatur et carcere includitur ; in alios vero inusitatis suppliciis animadvertitur. Petro autem imperatori Romano hæc D eadem litteris manifestante, misit imperator Joannem monachum, qui rector exstiterat, prætextu

FRANC. COMBEFISII NOTÆ.

(52) Συμπαθοῦς καὶ ἐλεήμονος φύσεως, Anonymus.

(53) Velut *domunculas*, *tuguriola*. Describit Choniates in Alexio Comneno

(54) Trientes verterat P. Goar ad Cedren. Liquet esse genus monetæ apud Theophanem in Copronymo.

(55) Post συνήθει τροφῇ, supple ex Anonymo, τῇ δὲ ψυχῇ καταλλήλῳ τῶν λόγων ἐπεντρυφῶν ἡδονῇ. Οἷς ἐκεῖνος ἐπιμελῶς προσέχων τὸν νοῦν, τὴν ψυχήν. En quales lacunæ : sed exspectandus ipse auctor. Sequitur in eodem de Romani erga monachos sanctitate celebres devotione, apud quos occasionem nactus cum lacrymis sua deponeret peccata. Notavi in Copronymo eum pium morem Ecclesiæ Græcæ, ut in ea vix alii πνευματικοὶ sint, ac confessarii quos vocamus, quam monachi probatioris vitæ.

(56) Anonym., μεγιστάνων τοῦ Συμεών· ut nec illi vox ea redundet, uti P. Goar existimavit. *Joannes cum aliis Bulgaris Symeonis proceribus*; qui scilicet bello et cædibus assueti Symeoni navassent operam, ægreque ferrent in tranquillum mutatum rerum statum Petro illius filio gentis principe, quem ideo amotum vellent, translato principatu in alterum fratrum Joannem, vel Michaelem, cujus etiam omissam hic rebellionem Continuat. et Cedren. prosequuntur.

quidem ut captivorum detentorum commutationem A faceret, sed revera, ut Joannem apprehenderet, et adduceret CP.; quod et factum est. Una quippe cum Joanne navim ingressus e Mesembria Constantinopolim navigavit. Non diu post eodem monasticum habitum deponente, et uxorem ducere exquirente, imperator domum et prædia plurima, et conjugem eadem secum Armeniacorum patria ortam dedit, et in Cæsaris ædibus celeberrimas peregit nuptias. Martii porro mensis die secundo Cosmites fori columnis superpositus in terram decidit, virosque sex oppressit. Contigit etiam incendium ingens et horrendum in fori porticu templo sanctissimæ Deiparæ vicino, adeo ut cereorum artificum et pellitiariorum fori ad Psechas usque consumerentur officinæ. Christophorus imperator mense Augusto, B indictione quarta, diem supremum obiit, et in præfato patris sui monasterio corpus ejus reconditum est. Tryphonem porro patriarcham Augusto mense, indictione tertia, deposuerunt, eoque in proprium monasterium se recipiente et defuncto, annum unum et menses quinque, nondum matura Theophylacti imperatoris filii Romani ætate, Ecclesia pastore viduata permansit. Basilius autem quidam Macedo pravus impostor Constantinum ducem seipsum mentitus, plurimos post se abducebat. Hic ab Elephantino, Opsicii turmarum præfecto, Constantinopolim abducitur, et manuum **506** altera a Petro præfecto truncatur. Occasione deinde captata in Opsicium rursum digreditur, et truncatæ vice manum æream sibi adaptans, ingentemque spatham sibi accommodans vagabatur plurimos seducens, C quasi ipse Constantinus ducis filius foret. Hic multis sibi allectis, stupendam in Romanum rebellionem movet. Imperator exercitu in eum immisso, ipsum comitesque insequebatur, quem deinde captum et in urbem abductum, per tribunalia examinatum multis verberibus subjecerunt. Ille sibi consulens, insignes dignitate viros quasi secum sentientes, mendaciis conflictis et a veritate alienis calumniabatur. Convictus tandem, ad Armastriani plateam ignis pabulum factus est. Præfatus autem imperatoris filius Theophylactus Februarii die secundo, indictione secunda, patriarcha consecratus est, astantibus Romani pontificis legatis, et tomum D synodalem de ejus ordinatione tractantem proferentibus, eumdemque collocantibus in throno patriarchali. Cæterum Romanus imperator Stephano filio locavit uxorem Gabalæ filiam, Catacyle neptim Annam nomine, unaque cum nuptiali corolla imperii diademate redimitus est.

Turcorum autem adversus Romanos irruptio prima indictionis septimæ Aprili mense contigit: qui ad urbem usque excurrentes, loca cuncta per

κτωρ, προφάσει μὲν ὡς ποιῆσαι ἀλλάγιον τῶν κρατουμένων αἰχμαλώτων, τῇ δὲ ἀληθείᾳ Ἰωάννην κατασχεῖν, καὶ ἐν Κωνσταντινουπόλει ἀγαγεῖν· ὃ δὴ καὶ γέγονεν. Εἰσελθὼν γὰρ ἅμα τῷ Ἰωάννῃ ἐν τῷ πλοίῳ ἀπὸ Μεσημβρίας ἦλθεν ἐν τῇ πόλει· μετ' οὐ πολὺ τούτου τὸ μοναχικὸν σχῆμα ἀποῤῥίψαντος, καὶ γυναῖκα ἐπιζητήσαντος, δέδωκεν αὐτῷ ὁ βασιλεὺς οἶκον καὶ κτήματα πάμπολλα, καὶ γυναῖκα ἐκ τῆς αὐτοῦ πατρίδος τῆς τῶν Ἀρμενιακῶν, γάμον τε λαμπρὸν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ πεποίηκεν. Μαρτίου δὲ μηνὸς δευτέρᾳ ἡμέρᾳ κοσμίτης ὃς ἐπέμενεν [ἔπεσεν] τῷ φόρῳ ἐν τοῖς ἐκεῖσε κίοσιν, καὶ ἀπέκτεινεν ἄνδρας ἕξ (57). Γέγονε δὲ ἐμπρησμὸς μέγας καὶ φοβερὸς εἰς τὸν τοῦ φόρου ἔμβολον πλησίον τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου, ὥστε κατακαῆναι τά τε κηροπωλεῖα, καὶ τὰ γουνάρια τοῦ φόρου μέχρι τῶν Ψηχῶν. Ἐτελεύτησε δὲ Χριστοφόρος βασιλεὺς μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος τετάρτης, καὶ ἐτέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ῥηθείσῃ μονῇ τοῦ πατρὸς αὐτοῦ. Κατήγαγον δὲ Τρύφωνα πατριάρχην Αὐγούστῳ μηνὶ ἰνδικτιῶνος τρίτης, καὶ ἀπελθόντος ἐν τῇ ἰδίᾳ μονῇ τελευτᾷ, χηρευσάσης τῆς Ἐκκλησίας χρόνον ἕνα μῆνας πέντε, διὰ τὸ τῆς ἡλικίας ἀτελὲς Θεοφυλάκτου υἱοῦ Ῥωμανοῦ βασιλέως. Βασίλειος δέ τις Μακεδὼν πλάνος Κωνσταντῖνον δοῦκα ἑαυτὸν ἐπευφημήσας (58) πολλοὺς μεθ' ἑαυτοῦ συνεπήγετο· οὗτος συσχεθεὶς ὑπὸ Ἐλεφαντίνου τουρμάρχου ἐκ τοῦ Ὀψικίου ὄντος, ἤχθη ἐν Κωνσταντινουπόλει, καὶ ὑπὸ Πέτρου ὑπάρχου τῆς μιᾶς ἀλλοτριοῦται χειρός. Εἶτα καιροῦ λαβόμενος, καταλαμβάνει πάλιν τὸ Ὀψίκιον, καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης προσαρμοσάμενος, καὶ σπάθην ὑπερμεγέθη κατασκευάσας, διήρχετο πλανῶν πολλοὺς ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ τοῦ δουκός· οὓς καὶ συνεφελκόμενος μεγάλην κατὰ Ῥωμανοῦ ἀνταρσίαν κινεῖ. Ἀποστείλας οὖν ὁ βασιλεὺς στρατὸν κατ' αὐτοῦ, αὐτόν τε συνέλαβεν καὶ τοὺς σὺν αὐτῷ, ὃν καὶ ἀγαγόντες ἐν τῇ πόλει ἀνέκρινόν τε καὶ πολλὰς αὐτῷ πληγὰς ἐπετίθεσαν. Ὁ δὲ πολλοὺς τῶν ἐν τέλει ἐσυκοφάντει ψευδῶς ὡς συνόντας αὐτῷ, μηδὲν δὲ ἀληθὲς κατ' αὐτῶν λέγειν ἐξελεγχθείς, ἐν τοῖς Ἀμαστριανοῦ πυρὸς κατανάλωμα γίνεται. Χειροτονεῖται δὲ πατριάρχης ὁ προῤῥηθεὶς τοῦ βασιλέως υἱὸς Θεοφύλακτος, Φεβρουαρίῳ β', ἰνδικτ. ς', τοποτηρητῶν ἐκ Ῥώμης ἀνελθόντων, καὶ τόμον συνοδικὸν ἐπιφερομένων περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα· οἳ καὶ τῷ πατριάρχου θρόνῳ τοῦτον ἐνίδρυσαν. Ῥωμανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα ἠγάγετο θυγατέρα οὖσαν τοῦ Γαβαλᾶ, ἐκγόνην δὲ Καταχυλῆν [τοῦ Καταχυλᾶ] Ἄνναν ὄνομα. Ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ ὁ τῆς βασιλείας στέφανος ἐπετέθειτο.

Ἐγένετο δὲ ἐκστρατεία πρώτη τῶν Τούρκων κατὰ Ῥωμαίων ἰνδικτιῶνι ἑβδόμῃ Ἀπριλλίῳ μηνί, οἳ καὶ καταδραμόντες μέχρι τῆς πόλεως ἐληΐσαντο

FRANC. COMBEFISII NOTÆ.

(57) Anonym., Κοσμίτης ἔπεσεν ἐν τῷ φόρῳ ἐκ τῶν ἐν τοῖς στοιχηδὸν ἱσταμένοις ἐκεῖσε κίοσι ἐπικειμένων. *Lapis Cosmites dictus in foro decidit, ex iis qui columnis illic ordine erectis sunt impositi.* Cedren., ἐκ τῆς ἀψῖδος· *ex fornice*, qui et 60 occisos numerat, ubi alii sex duntaxat.

(58) Melius Anonymus, ἐπιφημίσας.

